micos meos. Sed aduerte Prophetam, poſt diuturnam in delictis inueterationem, poſt conuictum in peccatis, non deſpondiſſe animum, non deſperaſſe de Dei miſericordia; ſed per compunctionem ſeruatum fuiſſe, per lacrymas mundatum. Vnde ſecum bello contendentibus dicit cum auctoritate: *Diſcedite à me omnes qui operamini iniquitatem.* Deſinite, erubeſcite, recedite. 10. *Quoniam exaudiuit Dominus deprecationem meam*, quam in ſenectute obtuli: *Dominus orationem meam ſuſcepit.* 11. *erubeſcant & pudore afficiantur omnes inimici mei: conuertantur & erubeſcant valde.* Vides lacrymarum vires? vides confeſſionis fructum? vides illam renouationem & regenerationem, quæ in omnibus peccatis inueterationem ſequitur? deinceps ne dicas: ſenex ſum: infirmus ſum: inueteraui in omni peccato, nec ampliùs mandata Chriſti ſeruare valeo. Nihil huiuſmodi dixeris:
Pſ.140. 4. ne excuſes excuſationes in peccatis. quod ſi excuſas, ſtatim oſtendam tibi, quod, modò velis, in ſenectute

ἐχθροῖς μου. ἀλλ' ὅρα μετὰ τὴν ἐγχρονίαν ἐν ἁμαρτίαις παλαίωσιν, μετὰ τὴν ἐν ἁμαρτίαις συμβίωσιν, οὐκ ἀπέγνω ἑαυτὸν ὁ προφήτης, οὐκ ἀπήλπισε τοῦ ἐλέους τοῦ θεοῦ· ἀλλὰ διὰ κατανύξεως ἐσώθη, διὰ δάκρυα ἐκαθαρίσθη, καὶ τοῖς πολεμοῦσιν αὐτὸν μετ' ἐξουσίας λέγει· ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. παύσασθε, αἰσχύνθητε, ἀναχωρήσατε· ὅτι εἰσήκουσε κύριος τῆς ἐν τῷ γήρει δεήσεώς μου. κύριος τὴν προσευχήν μου προσεδέξατο. αἰσχυνθείησαν καὶ ἐντραπείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα. εἶδες τῶν δακρύων τὴν ἰσχύν; εἶδες τῆς ἐξομολογήσεως τὸν καρπόν; εἶδες τὴν μετὰ τὴν ἐν πάσαις ἁμαρτίαις παλαίωσιν, ἀνανέωσίν τε καὶ ἀναγέννησιν; λοιπόν, μὴ εἴπῃς· γέρων εἰμί, ἀσθενής εἰμι, ἐπαλαιώθην ἐν πάσῃ ἁμαρτίᾳ, καὶ οὐκ ἐπισχύω ποιῆσαι τὰς ἐντολὰς τοῦ χριστοῦ. μηδὲν τοιοῦτον εἴπῃς, μὴ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. εἰ δὲ προφασίζῃ, εὐθέως σοι δείξω, ὅτι ἐὰν μόνον θελήσῃς ἐν ἑαυτῷ τῷ γήρει

ὑπὲρ τὴν νεότητα δύνασαι φυλά-
ξαι τοῦ χριστοῦ τὰ προστάγματα.
ἀλλ' ἐρωτοῦντί δός μοι ἀψευδῆ τὴν
ἀπόκρισιν. μακάριοι οἱ πτωχοὶ τῷ
πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασι-
λεία τῶν οὐρανῶν. καὶ πότε ταπεινό-
τερον ἀνθρώπου ἐστὶ τὸ φρόνημα,
ἐν νεότητι, ἢ ἐν γήρᾳ; πρόδηλον
ὅτι ἐν γήρᾳ. σύμφυτος γὰρ ὁ τῦ-
φος ἐστὶν ἐν νεότητι. μακάριοι οἱ
πενθοῦντες, ὅτι αὐτοὶ παρακλη-
θήσονται. ἄρτι σύ μοι εἰπέ· τίς ἐστι
πρὸς πένθος καὶ δάκρυα εὐχερὴς,
ἡ νεότης ἢ τὸ γῆρας; πάντως ὅτι τὸ
γῆρας. μακάριοι οἱ πρᾳεῖς. οὐ
πάντες ὁμολογοῦσιν ὅτι ἡ νεότης
ὀξυτέρα ἐστὶ καὶ θερμοτέρα πρὸς
ὀργάς· τὸ δὲ γῆρας πρὸς πᾶσαν
θεραπείαν καὶ θείαν ἐντολὴν ὑπὲρ
τὴν νεότητα; ἐν γὰρ τῇ νεότητι καὶ
ὁ τῶν σωμάτων ὁ ἔρως ἀνά-
πτεται, καὶ ἡ τῆς φιλαργυρείας
*l. πλεῖστα — κάμινος πολεμεῖ, καὶ τὰ * πλεί-
στα τὰ πάθη, οἷον κενοδοξία, γα-
στριμαργία, καὶ ἡ μνησικακία. ἐν
δὲ γήρᾳ οὐ πάντως, ἀλλὰ δά-
κρυα καθαρτικὰ, ἐκ φόβου θεοῦ
καὶ ἐννοίας θανάτου καὶ κολάσεως
ἡμῖν γινόμενα· ἐν οἷς ἐὰν χρο-
νίσωμεν, καὶ πονέσωμεν, προκό-

quàm in iuuentute faci-
liùs potes seruare Christi
præcepta. At mihi interro-
ganti da verum responsum.
Beati pauperes spiritu: quo- Matt. 5.
niam ipsorum est regnum cæ-
lorum. Et quando humilior
est hominis spiritus, in iu-
uenta, an in senecta? Dubio
procul in hac. nam in iu-
uentute velut innata est ac
insita superbia. *Beati qui lu-*
gent: quoniam ipsi consolabun-
tur. Tu iam mihi dic, quæ
ætas ad luctum & lacrymas
procliuis sit, iuuenilis, an se-
nilis? Prorsus senilis. *Beati*
mites. Nonne omnes faten-
tur iuuentutem acriorem
esse & ad iras feruidiorem;
senectam verò ad omnem
cultum & ad diuinum man-
datum seruandum esse a-
ptiorem? in iuuenta siqui-
dem corporum accenditur
libido, & auaritiæ fornax
bellum infert, ac simul ple-
ræque perturbationes, vt i-
nanis gloria, gula, vlciscen-
di cupiditas: in senectute
autem nullatenus; sed tunc
adsunt lacrymæ purgantes,
quæ ex metu Dei & ex co-
gitatione mortis ac pœnæ
oriuntur in nobis: in qui-
bus si moram fecerimus, si
laborauerimus, proficie-

mus in dona ſpiritalia, gratiâ Domini noſtri Ieſu Chriſti, cui gloria in ſæcula. Amen.

Eiuſdem Oratio II. *in idem dictum (ſcilicet inſcriptionem Pſ. 50.) & de pœnitentia ac caſtitate.*

VIDISTIS proxima Dominica pugnam & victoriam? pugnam diaboli, victoriam verò Chriſti. Vidiſtis quo pacto pœnitentia laudibus extollitur, & vt diabolus plagam non tulit, ſed territus eſt ac horrore concuſſus? quid times, ô diabole, dum pœnitentia laudatur? quid luges? quid horres? profectò, inquit, iuſta de cauſa lugeo & affligor & turbor. Quam ob rem? Dic mihi diabole. Magna, inquit, mihi vaſa rapuit pœnitentia. Quænam ſunt illa? meretricem, publicanum, blaſphemum, latronem. Etenim verè multa diaboli vaſa rapuit pœnitentia, ipſiúſque arcem ſubuertit. Ille lethale vulnus à pœnitentia acce-

πλουσίαν εἰς δάκρυα πνευματικὰ, χάριτι κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Τοῦ αὐτοῦ λόγος β΄. εἰς τὸ αὐτὸ ῥητὸν, καὶ περὶ μετανοίας, καὶ σωφροσύνης.

ΙΔΕΤΕ τῇ προτέρᾳ κυριακῇ πόλεμον καὶ νίκην; πόλεμον τοῦ διαβόλου, νίκην δὲ τοῦ χριστοῦ. ἴδετε πῶς ἡ μετάνοια ἐγκωμιάζεται, καὶ ὁ διάβολος τὴν πληγὴν οὐκ ἐβάσταξεν, ἀλλ' ἐφοβήθη καὶ ἔφριξε; τί δέδοικας, ὦ διάβολε, μετανοίας ἐγκωμιαζομένης; τί ὀδύρῃ; τί φρίττεις; ναὶ φησι, δικαίως ὀδύρομαι καὶ θλίβομαι καὶ ταράσσομαι. διὰ τί; εἰπέ μοι, ὦ διάβολε. μεγάλα μοι φησὶ σκεύη ἥρπασεν ἡ μετάνοια. ποῖα ταῦτα; τὴν πόρνην, τὸν τελώνην, τὸν βλάσφημον, τὸν λῃστήν. καὶ γὰρ ἀληθῶς πολλὰ σκεύη ἥρπασεν ἡ μετάνοια τοῦ διαβόλου, καὶ αὐτοῦ τὴν ἀκρόπολιν καθεῖλε, καὶ καιρίαν ἔχει τὴν πληγὴν τῆς μετα-

νοίας. οὐδὲν ἴσον μετανοίας, ἀγα-
πητέ, ἀφ᾽ ὧν ἡ πεῖρα πρῴην ἔ-
δειξε. τίνος ἕνεκεν ἀμελεῖς ταύτης,
καὶ ἐφ᾽ ἑκάστην ἐκκλησίαν οὐκ ἀ-
παντῶμεν, τὴν μετάνοιαν ἀσπα-
ζόμενοι; κἂν εἶ ἁμαρτωλὸς, εἴς-
ελθε εἰς τὴν ἐκκλησίαν· κἂν δί-
καιος εἶ, εἴσελθε. ἁμαρτωλὸς εἶ, εἴς-
ελθε, ἵνα ἐλέγξῃς τὰς ἁμαρτίας
σου· κἂν δίκαιος εἶ, εἴσελθε, ἵνα μὴ
ἐκπέσης τῆς δικαιοσύνης. λιμὴν
γὰρ ἀμφοτέροις ἐστὶν ἡ ἐκκλησία·
ἁμαρτωλὸς εἶ, εἴσελθε μετάνοιαν
προβαλλόμενος· ἥμαρτες; εἰπὲ τῷ
θεῷ· ὅτι ἥμαρτον. ποῖος κάματος
ἐστί; ποία περίοδος; ποία θλῖψις;
ποία στενοχωρία λόγον εἰπεῖν· ὅτι
ἥμαρτον; ἐὰν εἴπης τὴν ἁμαρτίαν, οὐκ
ἔχεις κατήγορον τὸν διάβολον.
πρόλαβε καὶ ἅρπασαι αὐτοῦ τὸ ἀ-
ξίωμα. ἐκείνου γὰρ τὸ ἀξίωμα, κα-
τηγορεῖν σου τὰς ἁμαρτίας. τί οὖν
*l. αὐτὸν * σαυτὸν οὐ προλαμβάνεις, καὶ ἐξ-
αλείφεις τὴν ἁμαρτίαν, ἰδὼς ὅτι
τοιοῦτον κατήγορον ἔχεις σιγῆσαι
μὴ δυνάμενον; ἥμαρτες; εἴσελθε,
καὶ εἰπὲ τῷ θεῷ· ὅτι ἥμαρτον. οὐδὲν
σε ἄλλο ἀπαιτῶ εἰ μὴ τοῦτο μόνον·
ἡ γὰρ θεία γραφή φησι· λέγε σὺ
τὰς ἁμαρτίας σου πρῶτος, ἵνα

pit. Nihil cum pœnitentia
conferri poteſt, chariſſime.
Quod intelliges ex iis quæ
experientia nuper nos do-
cuit. cur illam negligis? cur
non ad ſingulas eccleſias
conuenimus, pœnitentiam
amplexuri? quamuis pecca-
tor ſis, ingredere in eccle-
ſiam: quamuis iuſtus ſis, in-
gredere. Peccator es; ingre-
dere vt peccata tua arguas:
quòd ſi iuſtus es; ingredere,
vt à iuſtitia non excidas.
Portus enim vtriſque eſt ec-
cleſia. Peccator es; intra,
pœnitentiam obtendens.
Peccaſti? dic Deo: peccaui.
Quis ille labor eſt? Quis
circuitus? Quæ afflictio?
Quæ anguſtia, verbum
hoc proferre, peccaui? ſi
dixeris peccatum tuum,
diabolum accuſatorem non
habebis. Præueni & eripe
illi ſuam dignitatem. Illius
quippe dignitas eſt, tua cri-
mina accuſare. Cur igitur
illum non occupas, & pec-
catum deles, cùm noueris
talem te habere accuſato-
rem, qui tacere nequeat?
Peccaſti? ingredere, & dic
Deo, peccaui. Nihil aliud
exigo à te niſi hoc ſolum.
Nam diuina ſcriptura ait:
dic tu delicta tua primus, vt Iſ. 43. 26.

iuſtificeris. Dic itaque delictum, vt ſoluas delictum. Non eſt in ea re labor, nec circuitus verborum, neque pecuniarum ſumptus, neque aliud quicquam eiuſmodi. verbum effare. Æquum ac candidum te præſta poſt peccatum? & vnde hoc, dicet aliquis, quòd ſi primus peccatum dixero, illud ſoluam? Habes in ſcriptura & hominem qui delictum ſuum dixit ac deleuit, & hominem qui non dixit, & condemnatus eſt. Cainus interfecit fratrem ſuum Abelem inuidiâ correptus, ita vt inuidiam cædes ſequeretur: & apprehenſum occidit eum in campo. Et quid ad illum ait qui omnia nouit Deus. *Vbi eſt Abel frater tuus?* qui ſcit & videt omnia, interrogat: non quòd ignoret; ſed vt homicidam attrahat ad pœnitentiam. Quòd enim non ex ignorantia interrogaret, oſtendit poſtea. *Vbi eſt Abel frater tuus?* Ille autem reſpondit: *neſcio. numquid cuſtos fratris mei ſum ego?* eſto; non es cuſtos: at cur interfector es? eſto, non cuſtodiebas: quare etiam necaſti? tamen dum iſta con-

Gen. 4.

δικαιωθῇς. εἰπὲ οὖν τὴν ἁμαρτίαν, ἵνα λύσῃς τὴν ἁμαρτίαν. οὐκ ἔστιν ἐν τούτῳ κάματος, οὐδὲ περίοδος λόγων, οὔτε χρημάτων ἀνάλωμα, οὐδ' ἄλλο τι τοιοῦτον. λόγον εἰπέ. εὐγνωμόνησον μετὰ τὴν ἁμαρτίαν. καὶ πόθεν τοῦτό φησιν, ὅτι ἐὰν εἴπω τὴν ἁμαρτίαν πρῶτος, λύω τὴν ἁμαρτίαν; ἔχεις ἐν τῇ γραφῇ καὶ τὸν εἰπόντα τὴν ἁμαρτίαν καὶ λύσαντα, καὶ τὸν μὴ εἰπόντα καὶ κατακριθέντα. ὁ κάϊν ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ ἄβελ φθόνῳ κατεχόμενος, ὡς τῷ φθόνῳ φόνον ἐπακολουθῆσαι· καὶ λαβὼν ἀνεῖλεν αὐτὸν εἰς τὸ πεδίον. καὶ τί φησιν ὁ θεὸς πρὸς αὐτόν, ὁ ἐπιστάμενος τὰ πάντα; ποῦ ἄβελ ὁ ἀδελφός σου; ὁ ἐπιστάμενος καὶ βλέπων τὰ πάντα ἠρώτα, οὐκ ἀγνοῶν, ἀλλ' εἰς μετάνοιαν ἕλκων τὸν φονεύσαντα. ὅτι γὰρ οὐκ ἀγνοῶν ἠρώτησεν, ἔδειξε· ποῦ ἄβελ ὁ ἀδελφός σου; ὁ δὲ εἶπεν. οὐκ οἶδα. μὴ γὰρ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; ἔστω, οὐκ ἦς φύλαξ· διὰ τί καὶ ἀναιρέτης; ἔστω, οὐκ ἐφύλαττες· διὰ τί καὶ ἀπέκτεινας; ὅμως ὁμολογεῖς ταῦ-

ταῦτα, αἴτιος εἶ καὶ τῆς φυλακῆς· τί οὖν ὁ θεὸς πρὸς αὐτόν; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τοῦ πεδίου. ἤλεγξεν εὐθύς, καὶ τὴν τιμωρίαν ἐπάγει, οὐ τοσοῦτον διὰ τὸν φόνον, ἀλλὰ διὰ τὴν ἀναίδειαν· οὐ γὰρ τοσοῦτον μισεῖ ὁ θεὸς τὸν ἁμαρτάνοντα, ὅσον τὸν ἀναισχυντοῦντα· ἀμέλει γοῦν τὸν κάϊν εἰς μετάνοιαν ἐλθόντα οὐ δέχεται αὐτόν. εἰ δὲ πρῶτος εἶπε τὴν ἁμαρτίαν, * ἀφεθεῖναι ἄν. τί γάρ φησι; μείζων ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναί με. ἀντὶ τοῦ· μέγα ἥμαρτον, οὐκ ἄξιός εἰμι ζῆσαι. τί οὖν πρὸς αὐτὸν ὁ θεός; στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς· τιμωρίαν αὐτῷ ἀπέφηνε χαλεπήν. οὐκ ἀναιρῶ σε, φησίν, εὐθέως, ἵνα μὴ λήθῃ παραδοθῇ ἡ ἀλήθεια, ἀλλὰ ποιῶ σε ἔννομον ὑπὸ πάντων ἀναγινωσκόμενον, ἵνα ἡ σὴ συμφορὰ μήτηρ φιλοσοφίας γένηται τοῖς μετὰ ταῦτα. καὶ περιῄει ὁ κάϊν νόμος ἔμψυχος, στήλη ἔμπνους, σιωπῶσα καὶ σάλπιγγος λαμπροτέραν ἀφιεῖσα φωνήν. μή τις, φησί, ποιήσῃ ταῦτα, ἵνα μὴ πάθῃ τοιαῦτα. ἔλαβε τὴν τιμωρίαν διὰ τὴν ἀναισχυντίαν, καὶ μὴ εἰρηκὼς πρῶ-

* ἀφε-θεῖν

fiteris, cuſtodiæ quoque es reus: quid ergo Deus ad illum? *Vox ſanguinis fratris tui clamat ad me de campo.* Arguit ſtatim, & pœnam infert, non adeò propter cædem, ſed propter impudentiam: non enim Deus tanto odio proſequitur eum qui peccat, quanto eum qui impudenter ſe gerit. Nempe igitur Caïnum cùm ad pœnitentiam accedit non recipit. Si autem primus dixiſſet peccatum, ſanè dimiſſum fuiſſet. Quid enim ait? *maius eſt peccatum meum, quàm vt dimittar.* quaſi diceret: Magnopere peccaui, indignus ſum vita. Quid ergo ad illum Deus? *Gemens ac tremens eris ſuper terram.* difficilem illi pœnam indixit. Non te, inquit, ſtatim interficio, ne obliuioni tradatur veritas: ſed te facio legi obnoxium ab omnibus agnoſcendum, vt tua calamitas poſteris fiat mater philoſophiæ. & circuibat Caïnus lex animata, columna ſpirans, quæ ſimul tacebat ac tubâ clariorem vocem emittebat. Nemo, inquit, iſta faciat, ne patiatur talia. Pœnas dedit ob impudentiam; & cùm pri-

Gen. 4. 13.

mus peccatum non dixisset, deprehensus condemnatus est: & cùm non deleuisset peccatum, hunc in modum circuibat. Vt autem intelligas hæc ita se habere, audi quomodo alius, cùm primus dixisset, soluerit delictum. Veniamus itaque ad Dauidem Prophetam & Regem, pauperem ac diuitem. Veniamus ad Prophetam & Regem. Lubentiùs ego illum à prophetia nuncupo: Regnum enim in Palæstinam tantùm; Prophetia verò in fines terræ peruenit: & regnum breui tempore comprehensum est, prophetia verò immortalia profert verba. Satius est mare siccari, & terram perire, quàm Dauidis verba turbari ac fluctuari. Hic lapsus est in adulterium & homicidium. *Vidit enim*, inquit, *mulierem pulcram se lauantem*, *& adamauit eam.* Deinde quæ modò decreuerat, ad opus perduxit. Et erat Propheta in adulterio, margarita in cœno. Sed nec se peccasse animaduertebat, tanto opprimebatur sopore: nam ebrio auriga, & currus nusquam ferebatur: corpus

Psal. 101. 1.

2. Reg. 11. 2.

τος τὴν ἁμαρτίαν, ἐλεγχθεὶς κατεκρίθη, καὶ μὴ ἐξαλείψας τὴν ἁμαρτίαν, περιῆν οὕτως. ἵνα δὲ μάθῃς ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, μάθε πῶς ἄλλος εἰρηκὼς πρῶτος ἔλυσε τὴν ἁμαρτίαν. ἔλθωμεν οὖν ἐπὶ τὸν δαβὶδ τὸν προφήτην καὶ βασιλέα, τὸν πένητα καὶ πλούσιον. ἔλθωμεν ἐπὶ τὸν προφήτην καὶ βασιλέα. μᾶλλον αὐτὸν ἡδέως ἐγὼ ἀπὸ τῆς προφητείας καλῶ· ἡ μὲν γὰρ βασιλεία εἰς παλαιστίνην, ἡ προφητεία εἰς τὰ πέρατα τῆς οἰκουμένης· καὶ ἡ βασιλεία μικρῷ συγκατελήφθη χρόνῳ, ἡ δὲ προφητεία ἀθάνατα φέρει τὰ ῥήματα. αἱρετώτερόν ἐστι τὴν θάλασσαν ξηρανθῆναι, καὶ τὴν γῆν ἀφανισθῆναι, ἢ τὰ ῥήματα τοῦ δαβὶδ κλυσθῆναι. οὗτος περιέπεσε μοιχείᾳ καὶ φόνῳ. ἴδε γάρ, φησί, γυναῖκα καλὴν λουομένην, καὶ ἠράσθη αὐτῆς. εἶτα τὰ δόξαντα ἄρτι εἰς ἔργον ἐξήγαγε. καὶ ἦν ὁ προφήτης ἐν μοιχείᾳ, ὁ μαργαρίτης ἐν τῷ βορβόρῳ· ἀλλ' οὔτε ᾔδει ὅτι ἥμαρτον, οὕτως ἦν καρώμενος. τοῦ γὰρ ἡνιόχου μεθύοντος, καὶ τὸ ἅρμα οὐδαμοῦ ἀπήρχετο. ὥσπερ δὲ

ἡνίοχος καὶ ἅρμα, οὕτως ψυ-
χὴ καὶ σῶμα. ἐὰν ψυχὴ σκοτισθῇ,
καὶ τὸ σῶμα βορβόρῳ κυλίε-
ται. ἕως γὰρ ἕστηκεν ὁ ἡνίοχος, καὶ
τὸ ἅρμα καλῶς φέρεται. ὅταν
μέντοι αὐτὸς ἀτονεῖ, καὶ οὐ δύνα-
ται περικρατὴς γενέσθαι τῶν
ἡνιόχων, καὶ αὐτὸ τὸ ἅρμα ἐν-
δεὲς ἵσταται· οὕτως καὶ ἐπὶ τοῦ
ἀνθρώπου, ἕως ἂν νήφῃ ἡ ψυ-
χὴ καὶ γρηγορῇ, καὶ αὐτὸ τὸ σῶ-
μα βορβόρῳ καὶ ἡδονῇ οὐ συγ-
κυλίεται. τί οὖν ὁ Δαβίδ; ἐμοί-
χευσεν, ἀλλ' οὐκ ᾔδει, ὅτι οὐκ
ἐλέγχετο ὑπὸ τινός. ἐν ἐσχάτῃ
πολιᾷ ἥμαρτεν, ἵνα μάθῃς ὅ-
τι ἐὰν εἶς ῥάθυμος, οὔτε ἡ
πολιά σε ὠφελεῖ, οὔτε ἐὰν εἶς
σπουδαῖος, ἡ νεότης σε παρα-
βλάψαι δύναται. οὐ γὰρ τῆς ἡ-
λικίας τὸ πρᾶγμα, ἀλλὰ τῆς
γνώμης τὸ κατόρθωμα. οὕτως
οὖν καὶ ὁ Δανιὴλ δωδεκαετὸν ὢν
παιδίον μειράκιον, καὶ πρεσβυ-
τέρους κατέκρινεν· οἱ δὲ πρεσβύ-
τεροι καὶ παλαιοὶ ἐν ἡμέραις,
καὶ δρᾶμα μοιχείας ἔπραξαν,
καὶ οὔτε ἡ ἐκείνων πολιὰ ὠφέλη-
σεν, οὔτε ἡ τούτου νεότης παρέβλα-
ψεν· ἵνα μάθῃς ὅτι οὐκ ἐν τῇ

autem & anima inſtar aurigæ ac currus ſunt. Si anima tenebris obſita ſit, corpus etiam in luto volutatur. quamdiu enim ſtat auriga, currus quoque optimè fertur: cùm autem ipſe languet, nec poteſt habenas tenere, etiam currus depreſſus ac languidus manet. Sic & in homine, quamdiu anima ſobria eſt ac vigilat, corpus etiam ipſum in cœno ac voluptate non volutatur. Quid igitur Dauid? adulterauit; ſed neſciebat, quia à nemine arguebatur. In extrema ſenectute peccauit, vt intelligas quòd ſi indiligens ſis, nec ipſa tibi proderit canities: neque, ſi ſedulus ſis ac ſtudioſus, ipſa te læddere poterit iuuentus. Non enim ætatis eſt hæc res, ſed à voluntate ac propoſito oritur egregium facinus. Sic igitur & Daniel puer erat Dan. 13. 45.
adoleſcentulus duodecim annos natus, & tamen ſeniores condemnauit: ſeniores autem & inueterati dierum, adulterij fabulam finxerunt: & neque his profuit canities, neque illius iuuenta ipſi nocuit: vt edocearis opera temperan-

tiæ non in ætate, ſed in animi ſententia poſita eſſe. Dauid canus ac ſenex erat, & ea ætate in adulterium lapſus eſt, & cædem commiſit ille, nec agnouerat ſe peccaſſe: nam animæ auriga ex intemperantia ebrius erat. Quid igitur Deus? mittit ad eum Nathanem Prophetam. Propheta venit ad Prophetam. Sic enim & cum medicis agitur. Si medicus ægrotauerit, alio medico indiget: ita & hîc. Propheta erat qui peccauerat, & Propheta eſt qui medicamenta affert. Venit ergo ad illum Nathan Propheta, nec ſtatim à limine arguit eum ac dicit: ſceleſte ac impuriſſime, ac adulter, ac interfector, tot honores à Deo accepiſti, & tu mandata ipſius conculcaſti? nihil eiuſmodi locutus eſt Nathan, ne illum, dum traducit, impudentiorem redderet: euulgata enim ſcelera ad inuerecundiam tendunt. Venit igitur ad eum, & fabulam
2 Reg. 12. 1. litis texit, & ait: *Rex, lis mihi eſt apud te. Erat quidam diues, & erat quidam pauper.* Diuitem hîc intelligo, Dauidem; pauperem

ἡλικίᾳ, ἀλλ' ἐν τῇ γνώμῃ τὰ πράγματα τῆς σωφροσύνης. ὁ δαβὶδ ἐν αὐτῇ ἦν τῇ πολιᾷ, καὶ τότε εἰς μοιχείαν ἔπεσε, καὶ φόνον εἰργάσατο ἐκεῖνος, καὶ μὴ ᾔδει αὐτὸν, ὅτι ἥμαρτεν· ὁ γὰρ ἡνίοχος τῆς ψυχῆς ἦν μεθυσθεὶς ἀπὸ ἀκρασίας. τί οὖν ὁ θεός; πέμπει πρὸς αὐτὸν νάθαν τὸν προφήτην. ὁ προφήτης ἔρχεται πρὸς προφήτην· οὕτω γὰρ καὶ ἐπὶ τῶν ἰατρῶν γίνεται. ἰατρὸς ἂν ἀσθενήσῃ, ἄλλου ἰατροῦ χρεία γίνεται. οὕτω καὶ ἐνταῦθα. προφήτης ἦν ὁ ἡμαρτηκὼς, καὶ προφήτης ὁ τὰ φάρμακα ἐπικομίζων. ἔρχεται οὖν πρὸς αὐτὸν νάθαν ὁ προφήτης, καὶ οὐκ εὐθὺς ἀπὸ θυρῶν ἐξελέγχει αὐτὸν καὶ λέγει· παράνομε, καὶ ἐναγέστατε, καὶ μοιχὲ, καὶ φονεῦ, τοσαύτας τιμὰς ἐδέξω παρὰ τοῦ θεοῦ, καὶ σὺ τὰς ἐντολὰς αὐτοῦ κατεπάτησας; οὐδὲν τοιοῦτον οὐκ εἶπεν ὁ νάθαν, ἵνα μὴ ἀναισχυντότερον αὐτὸν ἐργάσηται δημοσιεύσας· δημοσιευόμενα γὰρ τὰ ἁμαρτήματα εἰς ἀναισχυντίαν προκόπτει. ἔρχεται οὖν πρὸς αὐτὸν, καὶ δρᾶμα δίκης ὑφαίνει, καὶ φησί· βασιλεῦ δίκη μοί ἐστι πρὸς σέ. ἦν τις πλούσιος, καὶ ἦν τις πένης. πλούσιον ἐνταῦθα λέγω τὸν δαβὶδ, πένητα

δὲ τὸν οὐρίαν. ἦν τις πλούσιος καὶ ἦν τις πένης· εἶχε δὲ ὁ πλούσιος βουκόλια καὶ ἀγέλας πολλάς. εἶχε δὲ καὶ ὁ πένης ἀμνάδα μίαν. ἦλθε ξένος τις. τὴν ἐπιθυμίαν αἰνιττόμενος, οὐ γὰρ ἦν σύγχρονος τῷ δαβίδ, ἀλλ' ἐπείσακτος καὶ νεαρά. ἦλθέ τις ξένος παρὰ τῷ πλουσίῳ. καινὸν πρᾶγμα. ὁ ξένος ἦλθε, καὶ τὸν προφήτην ᾐχμαλώτευσεν. ἦν τις, φησὶ, πλούσιος βουκόλια καὶ ἀγέλας ἔχων πολλάς, ἦν καί τις πένης ἀμνάδα ἔχων μίαν. ἐκ τοῦ ποτοῦ αὐτοῦ ἔπινε, καὶ ἐκ τραπέζης αὐτοῦ ἤσθιεν. ἐνταῦθα τὸ γνήσιον τοῦ ἀνδρὸς τὸ πρὸς τὴν γυναῖκα δείκνυσιν. ἐλθόντος δὲ τοῦ ξένου, φησὶν, ἐφείσατο τῶν ἰδίων βουκολίων, καὶ λαβὼν τὴν ἀμνάδα τοῦ μετρίου ἔθυσεν αὐτήν. ἴδες ἐνταῦθα πῶς ὑφαίνει τὸ δρᾶμα ὁ νάθαν, τῇ σπογγίᾳ ἐπικεκρυμμένον ἔχων τὸ σιδήριον; τί οὖν ὁ βασιλεύς; ζῇ κύριος, ὅτι οὗτος ἄξιος ὢν θανάτου, καὶ ἀποδοῦναι τὴν ἀμνάδα τετραπλάσιον. τί οὖν ὁ νάθαν; οὐκ ἐμάλαξε πολλὰς ὥρας τὴν πληγὴν, ἀλλ' εὐθὺς ὀξυ-

verò, Vriam. *Erat quidam diues, & erat quidam pauper: habebat autem diues armenta & greges multos: habebat autem & pauper agnam vnam. venit peregrinus quidam.* Occultè significat libidinem, quæ ſanè non erat Dauidi coætanea, ſed aduentitia & recens. *Venit quidam peregrinus ad diuitem.* Noua res. venit peregrinus, & Prophetam in captiuitatem abduxit. *Erat quidam*, inquit, *diues, armenta & multos greges habens: erat & quidam pauper, qui agnam vnam habebat. hæc de potu illius bibebat, & de menſa eius comedebat.* Hoc loco oſtendit minimè fucatum viri amorem erga vxorem ſuam. *Cùm autem veniſſet peregrinus*, inquit, *pepercit propriis armentis, & ſumens pauperis agnam, mactauit eam.* Vides hîc quemadmodum fabulam texat Nathan, ſpongiâ occultum gladiolum gerens? Quid ergo Rex? *Viuit Dominus, vir ille dignus eſt qui moriatur, quíque reddat agnam in quadruplum.* Non fomenta vulneri per multas horas adhibuit: ſed illico celer-

rimam admouit ſectionem, vt timoris ſenſum falleret. *Tu es, ô Rex.* Quid igitur Rex ait? *Peccaui Domino.* Non dixit: quis enim es tu qui me reprehendis? quis enim te miſit, vt ita confidenter loquereris? & qua demum audacia id feciſti? nihil horum reſpondit: ſed agnito peccato ſuo ait: *peccaui Domino.* Quid igitur Nathan? *Dominus quoque abſtulit peccatum tuum.* Teipſum condemnaſti: ego tibi mulctam remitto. æquo animo confeſſus es crimen: ego ſententiam ſolui. vides quo pacto impletum fuerit quod ſcriptum eſt: *dic tu peccata tua primus, vt iuſtificeris?* Quis hic labor, ſi primus peccatum dicas? Habet autem & alteram viam pœnitentia. Quam tandem illam? dico, flere peccatum. Deliquiſti? plora, & peccatum deles. Non præcipio tibi vt maria ſeces, nec vt pro penſionis ſolutione per ſæuos fluctus tranſeas: ſed luge de peccato. at vnde hoc conſtat, inquiet aliquis, quòd ſi fleuero, peccatum ſoluam? Habes & huiuſce rei demonſtratio-

ταύτην ἐπήγαγε τὴν τομὴν, ἵνα κλέψῃ τὴν αἴσθησιν τοῦ φόβου. σὺ εἶ βασιλεῦ. τί οὖν ὁ βασιλεύς φησιν; ἡμάρτηκα τῷ κυρίῳ. οὐκ εἶπε· τίς γὰρ εἶ σὺ ὁ ἐλέγχων με; τίς γάρ σε ἀπέστειλε παρρησιάσασθαι; ποίᾳ δὲ τόλμῃ τοῦτο πεποίηκας; οὐδὲν τούτων εἶπεν, ἀλλὰ συγνοὺς τὴν ἑαυτοῦ ἁμαρτίαν, φησίν· ἡμάρτηκα τῷ κυρίῳ. τί οὖν ὁ νάθαν; καὶ κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. ἑαυτὸν κατεδίκασας, ἐγώ σοι συγχωρῶ τὴν καταδίκην. εὐγνωμόνως ὡμολόγησας τὴν ἁμαρτίαν, ἐγὼ ἔλυσα τὴν ἀπόφασιν. Εἶδες πῶς ἐπληρώθη τὸ γεγραμμένον; λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. ποῖος κάματος Εἰπεῖν πρῶτον τὴν ἁμαρτίαν; ἔχει δὲ καὶ ἄλλην ὁδὸν ἡ μετάνοια. ποίαν δὴ ταύτην; λέγω, τὸ πενθῆσαι τὴν ἁμαρτίαν. ἡμάρτησας; πένθησον, καὶ λύεις τὴν ἁμαρτίαν. οὐ λέγω σοι πελάγη τεμεῖν, οὔτε κυμάτων ἀγρίων δίοδον ποιῆσαι καταβολήν· ἀλλὰ πένθησον ἐπὶ τῇ ἁμαρτίᾳ. καὶ πόθεν τοῦτο δῆλον, φησίν, ὅτι ἐὰν πενθήσω, λύω τὴν ἁμαρτίαν; ἔχεις καὶ τούτων τὴν ἀπόδει-

ξιν ἀπὸ τῆς γραφῆς. ἦν τις ἀ-
χαὰβ βασιλεύς. δίκαιος δὲ ἐκεῖνος
μεμαρτύρηται· ἐβασίλευσε δὲ ἐκεῖνος
εἰς κακὰ ὑπὸ ἰεζάβελ τῆς γυναι-
κὸς αὐτοῦ. ἐκεῖνος τοῦ ναβουθὲ ἰεσραη-
λίτου τὸν ἀμπελῶνα ἐπεθύμησε,
καὶ ἀπέστειλε πρὸς αὐτὸν λέγων·
δός μοι τὸν τόπον σου ὃν ἐπεθύμησα,
καὶ ἢ ἀργύριον λάβε παρ' ἐμοῦ, ἢ
ἀντάλλαγμα τοῦ τόπου. ὁ δὲ εἶπε·
μὴ γένοιτό μοι κληρονομίαν πα-
τέρων μου πωλῆσαι· ὁ δὲ ἀχαὰβ
ἐπεθύμει μὲν τοῦ ἀμπελῶνος, οὐκ
ἤθελε δὲ βιάσασθαι, ὡς ἐκ τούτου
κάκωσιν αὐτὸν περιπεσεῖν. εἰσελ-
θοῦσα δὲ ἰεζάβελ, γύναιον ἀναί-
σχυντον καὶ ἀπηγορευμένον, ἀ-
κάθαρτος καὶ μιαρὰ καὶ ἐναγεστά-
τη. τί, φησί, λυπεῖς καὶ οὐκ ἐσθίεις;
ἀνάστα, φάγε, ἐγώ σε ποιήσω κλη-
ρονομῆσαι ναβουθὲ τοῦ ἰεσραηλίτου
τὸν ἀμπελῶνα. καὶ λαβοῦσα γράφει
ἐπιστολὰς πλαστὰς ὡς ἂν εἴη ἐκ
προσώπου τοῦ βασιλέως, πρὸς τοὺς
πρεσβυτέρους, λέγουσα· κηρύξατε
νηστείαν, καὶ στήσατε ἄνδρας ψευδεῖς
κατὰ ναβουθὲ, ὅτι εὐλόγησας θεὸν
καὶ βασιλέα, τουτέστιν ἐβλασφή-
μησας. ὢ νηστεία ἐπιτεταγμένη
παρανομίας πεπληρωμένη. ἐκή-

nem ex Scriptura. Erat qui-
dam Achaabus rex : is au- 3. Reg.
tem iuſtus fuiſſe perhibe- 21. 1.
tur. Ceterum iniuſtè regna-
uit propter Iezabelem vxo-
rem ſuam. Hic Nabuthei
Iezraëlitæ vineam concu-
piuit, & miſit ad illum di-
cens : *Da mihi locum tuum
quem deſideraui ; & vel ar-
gentum à me accipe, vel
permutationem loci.* At ille
dixit : *Abſit vt hæreditatem
patrum meorum vendam.* A-
chaabus verò deſiderabat
quidem vineam, vim ta-
men inferre nolebat : adeò
vt iſtam ob cauſam in mor-
bum inciderit. Ingreſſa au-
tem Iezabel muliercula im-
pudens & deſperata, im-
pura & ſceleſta, & maximè
execranda ; *Quid*, inquit,
*contriſtaris & non comedis?
ſurge & manduca : ego effi-
ciam vt poßideas vineam
Nabuthei Iezraëlitæ. & ac-
cipiens ſcribit epiſtolas fi-
ctas, quaſi eſſent ex perſo-
na Regis, ad ſeniores, di-
cens : prædicate ieiunium,
& ſtatuite viros mendaces
contra Nabutheum, qui di-
cant : benedixiſti Deum &
Regem*, hoc eſt blaſphe-
maſti. ô indictum ieiunium
iniquitate plenum! Prædi-

carunt ieiunium, vt cædem perpetrarent. Quid ergo? *Lapidatus est Nabutheus & mortuus est. quo audito Iezabel dixit Achaabo: surge, poßide vineam, quia mortuus est Nabutheus.* At ille contristatus quidem est tum temporis: ingressus est tamen ad possidendam vineam. Deus Prophetam Eliam mittit ad eum. *Abi,* inquit, *dic Achaabo: eo quòd occidisti & possedisti; sic sanguis tuus effundetur, & canes lingent sanguinem tuum, & meretrices lauabunt in sanguine tuo.* Diuinitus im-
3. Reg. missa ira, absoluta senten-
22. 38. tia, adimpletum est supplicium. Et vide quò mittat Eliam. in vineam. vbi peccatum, ibi & pœna. vbi iniquitas, ibi & supplicium. Et quid ait Achaabus cùm videt Prophetam? *Inuenisti me inimicus meus.* quid sibi vult hoc: *inuenisti me inimicus meus?* quasi diceret: reum me deprehendisti, quia peccaui. nunc occasionem nactus es mihi insultandi. quandoquidem Elias solebat arguere Achaabum, id sciens Achaabus ait: peccaui. Semper quidem reprehen-

ρυξαν νηστείαν, ἵνα φόνον ἐργάσονται. τί οὖν; ἐλιθάσθη ὁ ναβουθὲ, καὶ ἀπέθανε. μαθοῦσα ἡ ἰεζάβελ λέγει τῷ ἀχαάβ· ἀνάστα κληρονόμησον τὸν ἀμπελῶνα, ὅτι ἀπέθανε ναβουθέ. ὁ δὲ ἐλυπήθη μὲν πρὸς τὸ παρὸν, εἰσῆλθε δὲ κληρονομῆσαι τὸν ἀμπελῶνα. πέμπει ὁ θεὸς πρὸς αὐτὸν ἠλίαν τὸν προφήτην. ἄπελθε, φησὶν, εἰπὲ τῷ ἀχαάβ· ἀνθ' ὧν ἐφόνευσας, καὶ ἐκληρονόμησας, οὕτως τὸ αἷμά σου ἐκχυθήσεται, καὶ οἱ κύνες λείξουσι τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου. θεήλατος ἡ ὀργὴ, ἀπηρτισμένη ἡ ἀπόφασις, πεπληρωμένη ἡ καταδίκη. καὶ ὅρα ποῦ πέμπει αὐτόν. εἰς τὸν ἀμπελῶνα. ὅπου ἡ ἁμαρτία, ἐκεῖ καὶ ἡ καταδίκη· ὅπου ἡ παρανομία, ἐκεῖ καὶ ἡ τιμωρία. καὶ τί φησιν ἰδὼν αὐτὸν ὁ ἀχαάβ; εὕρηκάς με ὁ ἐχθρός μου; τί ἐστιν· εὕρηκάς με ὁ ἐχθρός μου; αὐτὶ τοῦ, αἴτιόν με ἔλαβες, ὅτι ἡμάρτηκα. νῦν καιρὸν ἔχεις τοῦ ἐπεμβῆναί μοι. ἐπειδὴ ἤλεγχε τὸν ἀχαάβ ὁ ἠλίας, ἰδὼς φησιν· ὅτι ἡμάρτησα. ἀεὶ μὲν ἤλεγ-

χες,

χες, νῦν δὲ εὐκαίρως με ἐπεμβαίνεις. παραναγινώσκει αὐτῷ τὴν ἀπόφασιν. τάδε λέγει κύριος φησίν, ἀνθ' ὧν ἐφόνευσας καὶ ἐκληρονόμησας καὶ αἷμα δικαίου ἐξέχεας, οὕτως τὸ αἷμά σου ἐκχυθήσεται, καὶ οἱ κύνες λείξουσι τὸ αἷμά σου, καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου. παρανέγνω αὐτῷ τὴν ἀπόφασιν. θεήλατος ἡ ἐξενεχθεῖσα δίκη. ἀκούσας ταῦτα ὁ ἀχαὰβ τὴν σκυθρωπάζων καὶ πενθῶν ἐπὶ τῇ ἁμαρτίᾳ, καὶ συνέγνω τὴν ἀδικίαν, ἔλυσε τὴν κατ' αὐτοῦ ψῆφον. ἀλλὰ πρότερον ἀπολογεῖται τῷ ἠλίᾳ, ἵνα μὴ ὡς ψεύστης φανῇ ὁ ἠλίας, καὶ πάθῃ τι, ὅπερ ἰωνᾶς ἔπαθε. λέγει πρὸς αὐτὸν ὁ θεός· ἄπελθε, κήρυξον εἰς νινευὶ τὴν πόλιν τὴν μεγάλην ἐν ᾗ κατοικοῦσι δώδεκα χιλιάδες ἀνδρῶν χωρὶς γυναικῶν καὶ παιδίων, ὅτι ἔτι τρεῖς ἡμέραι, καὶ νινευὶ καταστραφήσεται. ὁ ἰωνᾶς οὐκ ἐβούλετο ἀπελθεῖν, ἰδὼς τὸ τοῦ θεοῦ φιλάνθρωπον. ἀλλὰ τί; εἰς φυγὴν ἑαυτὸν ἔδωκεν. λέγει γὰρ ἀπαράγγελμαι, ἐγὼ κηρύττω, σὺ φιλάνθρωπος ὢν μεταμελῇ, ἐγὼ

debas, nunc verò opportunè in me inueheris. ex aduerso recitat illi sententiam. *Hæc dicit Dominus*, inquit, *eo quod occidisti & possedisti, & sanguinem iusti effudisti: sic sanguis tuus effundetur, & canes lingent sanguinem tuum, & meretrices lauabunt in sanguine tuo.* Ex aduerso legit illi sententiam. diuinitus immissa erat pœna illata. Hæc cùm audiisset Achaabus, mœstum vultum gerebat & lugebat propter delictum, agnouítque iniquitatem suam; & Deus latam in illum sententiam reuocauit. Priùs tamen Deus se Eliæ excusat, ne mendax videatur Elias, neve ipsi contingat quod Ionæ accidit. Dicit ad hunc Deus:
Vade, prædica in Niniue ci- *Ionæ* 1.
uitate magna, in qua habi- 2. & 4.
tant centum & viginti mil- 11. & 3.
lia virorum absque mulieri- 4.
bus & pueris: adhuc tres dies & Niniue subuertetur. Ionas abire nolebat. Nouerat siquidem Dei benignitatem. sed quid? in fugam se dedit. Ait enim: abeo; ego prædico; tu, qui hominum amans es, pœnitentiâ ducêris; ego velut

falsus propheta interficiar. Attamen mare illum exceptum non abscondit, sed reddidit terræ, eúmque incolumen in Niniuen reduxit, & tanquam optimus conseruus conseruum suum custodiuit. *Descendit enim Ionas*, inquit, *vt fugeret: & inuenit nauem euntem in Tharsis, & dedit naulum eius, & ascendit in eam.* Quò fugis Iona? in aliam
Ps.23.1. terram abis? sed *Domini est terra & plenitudo eius.* Verùm in mare forsan pro-
Ps.94.5. ficisceris? atqui *Domini est mare, & ipse fecit illud.* Fortè in cœlum? nonne audiisti Dauidem dicentem:
Ps.8.4. *quoniam videbo cœlos opera digitorum tuorum?* Verumtamen Ionas, vt ipse quidem putabat, fugiebat timore correptus: Deum enim verè fugere non poterat: tamen vbi mare eum restituit, abiit Niniuen, & prædicauit: *adhuc tres dies, & Niniue subuertetur.* Vt autem scias hoc illum in mente habuisse cùm in fugam se conuertit, scilicet Deum, vt pote clementem, pœnitentiam acturum super malitia quam locutus fuerat, & futurum

ὡς ψευδοπροφήτης ἀναιρεθῶμαι. ἀλλ' ὅμως ἡ θάλαττα αὐτὸν λαβοῦσα οὐκ ἀπέκρυψεν, ἀλλ' ἀπέδωκε τῇ γῇ, καὶ ἀπέσωσε πάλιν εἰς Νινευΐν, καθάπερ ἀρίστη σύνδουλος σύνδουλον διατηροῦσα. κατέβη γὰρ Ἰωνᾶς, φησὶν, τοῦ φυγεῖν, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσεῖς, καὶ ἔδωκε τὸ ναῦλον αὐτοῦ, καὶ ἀνέβη εἰς αὐτό. ποῦ φεύγεις Ἰωνᾶ; εἰς γῆν ἄλλην ἀπέρχῃ; ἀλλὰ τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλὰ εἰς τὴν θάλατταν ἀπέρχῃ; ἀλλὰ τοῦ κυρίου ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν. ἀλλ' εἰς τὸν οὐρανόν; οὐκ ἤκουσας τοῦ Δαβὶδ λέγοντος· ὅτι ὄψομαι τοὺς οὐρανοὺς, ἔργα τῶν δακτύλων σου. ἀλλ' ὅμως ἐκεῖνος, τὸ δοκεῖν, ἔφυγε, τῷ φόβῳ κατεχόμενος· θεὸν γὰρ ἀληθῶς φυγεῖν οὐκ ἠδύνατο· ὅμως ὅτε ἀποκατέστησεν αὐτὸν ἡ θάλασσα, ἀπῆλθε εἰς Νινευΐν, καὶ ἐκήρυξεν· ὅτι* τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται. ἵνα δὲ μάθῃς ὅτι τοῦτο ἔχων ἐν τῇ διανοίᾳ εἰς φυγὴν ἔδωκεν ἑαυτὸν, ὅτι ὁ θεὸς φιλάνθρωπος ὢν μετανοεῖ ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε, καὶ ἔμελ-

* add. ἔτι ex ed.

λεν αὐτὸς ὡς ψευδοπροφήτης κρίνεσθαι, αὐτὸς ἑαυτῷ τοῦτο δείκνυσιν. μετὰ γὰρ τὸ κηρύξαι, φησὶν, ἐν τῇ νινευῒ, ἐξῆλθεν ἔξω τῆς πόλεως, καὶ παρετήρει τί ἂν γένηται. ὅτε δὲ εἶδε τρεῖς ἡμέρας παρελθούσας, καὶ οὐδαμοῦ οὐδὲν τῶν ἐπηγγελθέντων γινόμενον, τότε τὸν πρότερον αὐτοῦ λογισμὸν ἐκφαίνει, καὶ λέγει· οὐχ οὗτοι ἦσαν οἱ λόγοι μου, οὓς ἔλεγον· ὅτι ὁ θεὸς ἐλεήμων ἦ, καὶ μακρόθυμος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων; ἵνα μὴ τοιοῦτον πάθῃ ὁ ἠλίας, οἷον καὶ ὁ ἰωνᾶς, λέγει τὴν αἰτίαν αὐτοῦ, δι᾽ ἣν τὸν ἀχαὰβ συνεχώρει. καὶ τί φησιν ὁ θεὸς πρὸς τὸν ἠλίαν; εἶδες πῶς ἐπορεύθη ἀχαὰβ πενθῶν καὶ σκυθρωπάζων ἐνώπιόν μου; οὐ μὴ ποιήσω κατὰ τὴν ὀργήν μου. δεσπότης δούλου συνήγορος γίνεται, καὶ ἀπολογεῖται θεὸς ἀνθρώπῳ ὑπὲρ ἀνθρώπου· μὴ νόμιζε, φησὶν, ὅτι συνεχώρησα αὐτῷ ἁπλῶς, *μετερύθμησε τὸν τρόπον, καὶ *μετέβαλε τὴν ὀργήν. μὴ νομίσῃς αὐτὸν εἶναι ψευδοπροφήτην. σὺ γὰρ ἀληθῶς εἴπας. εἰ μὴ γὰρ μετέβαλε τὸν τρόπον,

* l. ex ed. μετερρύθμισε
* ed. μετέβαλον

vt ipſe veluti falſus propheta accuſaretur; id ipſe per ſe oſtendit. *Poſtquam enim*, ait Scriptura, *prædicauit in Niniue, egreſſus eſt extra ciuitatem, & obſeruabat quid accideret.* Ioan. 4. Cùm autem vidit præteriiſſe tres dies, & nuſquam quicquam eorum quæ denuntiata fuerant euenire: tunc priorem ſuam cogitationem declarat, & dicit: *Nonne hi erant ſermones mei quos dicebam, quòd Deus miſericors eſſet & longanimis, & agens pœnitentiam ſuper malitiis hominum?* Ne tale quid contingeret Eliæ, quale Ionæ, Deus illum cauſam docet propter quam Achaabo veniam daret. Et quid ait Deus ad Eliam? *Vidiſti quomodo inceſſerit Achaabus plorans & triſtis coram me? Non faciam ſecundùm iram meam.* 3. Reg. 21. 29. Dominus fit ſerui aduocatus, & Deus apud hominem patrocinatur homini. Ne exiſtimes, inquit, me illi temere condonaſſe: mores emendauit, & iram meam tranſtulit. Ne putes te eſſe pſeudoprophetam. Tu enim vera locutus es. Nam niſi mores mutaſſet,

pertulisset irrogatam à sententia multam: sed ille mutauit mores, & ego iram deposui. Et quid ait? *Vidisti quomodo ambulauerit Achaabus plorans & mœsto vultu coram me?* Vides vt ploratus deleat peccata? Habes etiam tertiam pœnitentiæ viam, sed & multas pœnitentiæ vias, vt viarum diuersitas facilem tibi reddat salutem. Qualem verò viam? Humiliter de te senti, & lapsuum catenas soluisti. Habes etiam istius rei demonstrationem ex Scriptura, ex lectione quæ est de Publicano & Pharisæo. *Ascendebant*, inquit, *Pharisæus & Publicanus in templum, vt orarent: & cœpit Pharisæus suas enumerare virtutes. Non sum*, inquit, *ego peccator, sicut totus mundus, neque vt publicanus iste.* Miser & insatiabilis anime, orbem terrarum condemnasti, quam ob caussam & eum qui prope te erat afflixisti? Non suffecit tibi orbis, nisi & Publicanum damnares? Omnia quæ hîc sunt accusasti, & vni viro non pepercisti? *Non sum ego sicut totus mundus, neque sicut*

Luca 18. 10.

ὑπομένειν εἶχε τὰ τῆς ἀποφάσεως. ἀλλ' αὐτὸς μετέβαλε τὸν τρόπον, κἀγὼ ἀπέλυσα τὴν ὀργήν. καὶ τί φησιν; εἶδες πῶς ἐπορεύθη Ἀχαὰβ πενθῶν καὶ σκυθρωπάζων ἐνώπιόν μου; εἶδες πῶς τὸ πενθῆσαι ἐξαλείφει ἁμαρτίας; ἔχεις δὲ καὶ τρίτην ὁδὸν μετανοίας, ἀλλὰ καὶ πολλὰς ὁδοὺς μετανοίας, ἵνα ἡ ποικιλία τῶν ὁδῶν εὔκολόν σοι τὴν σωτηρίαν ἐργάσηται. ποίαν δὲ ταύτην; ταπεινοφρόνησον, καὶ ἔλυσας τὰς σειρὰς τῶν πταισμάτων. καὶ ἔχεις καὶ τούτου τὴν ἀπόδειξιν ἀπὸ τῆς γραφῆς, ἀπὸ τῆς ἀναγνώσεως τῆς κατὰ τὸν τελώνην καὶ τὸν Φαρισαῖον. ἀνῆλθον, φησὶν, ὁ Φαρισαῖος καὶ ὁ τελώνης εἰς τὸ ἱερὸν προσεύξασθαι· καὶ ἤρξατο ὁ Φαρισαῖος τὰς ἀρετὰς ἀπαριθμεῖσθαι. οὐκ εἰμὶ, φησὶν, ἐγὼ ἁμαρτωλὸς ὡς πᾶς ὁ κόσμος, * ὡς οὐδὲ ὁ τελώνης οὗτος. ἀθλία καὶ ἀχόρταστε ψυχὴ, τὴν οἰκουμένην κατεδίκασας, διὰ τί καὶ τὸν ἐγγύς σου ἔθλιψας; οὐκ ἤρκεσέ σοι ἡ οἰκουμένη, ἐὰν μὴ καὶ τὸν τελώνην κατέκρινας; πάντα τὰ ἐντεῦθεν διέβαλες, καὶ τοῦ ἑνὸς οὐκ ἐφείσω; οὐκ εἰμὶ ἐγὼ ὡς πᾶς ὁ κόσμος, οὐδὲ ὡς ὁ

* οὐδὲ ὡς

τελώνης οὗτος. ἀλαζονείας ῥήμα-
τα ἐφθέγξατο. ἄθλιε ἄνθρω-
πε, ἔστω, τὴν οἰκουμένην κατε-
δίκασας, τί καὶ τὸν ἐγγύς σου τε-
λώνην ἔθλιψας; οὐκ ἐχόρτασέ
σε ἡ κατηγορεία τῆς οἰκουμένης,
εἰ μὴ καὶ τὸν ἐγγύς σου κατέκρι-
νας. τί οὖν ὁ τελώνης ἀκούσας
ταῦτα; οὐκ ἀρκεῖ ταῦτά μοι
λέγων· πόθεν οἶδας τὸν βίον μου;
οὐ συνετράφης μοι, οὐ συνέ-
μεινας, οὐ συνεχώρησας. διὰ τί
οὕτως ἀλαζονεύεις; διὰ τί το-
σοῦτον ὑπερηφανεύεις; σὺ γὰρ
τί μαρτυρεῖς ἀγαθοεργίαν; τί
σεαυτὸν ἐπαινεῖς; τί σεαυτὸν ἀπο-
δίδως; ἀλλ' οὐδὲν τούτων εἶ-
πεν ὁ τελώνης, ἀλλὰ κύψας
προσεκύνησε καὶ εἶπε· κύριε
ἱλάσθητί μοι ἁμαρτωλῷ, καὶ
ταπεινοφρονήσας ὁ τελώνης
ἐγένετο δίκαιος. ὁ γὰρ Φα-
ρισαῖος κατῆλθεν ἐκ τοῦ ἱε-
ροῦ δικαιοσύνην ἀπολέσας, ὁ
δὲ τελώνης κατῆλθε δικαιοσύ-
νην κτησάμενος. καὶ ῥήματα
πράγματα ἐνίκησεν. ὁ μὲν
γὰρ ἔργοις, δικαιοσύνης ἔφυγεν·
ὁ δὲ λόγῳ ταπεινοφροσύ-
νης, δικαιοσύνην ἐκτήσατο. καὶ

Publicanus iste. Arrogantiæ verba locutus est. Infelix homo, esto, orbem condemnasti, cur etiam qui iuxta te erat Publicanum elisisti? non satiauit te totius orbis accusatio, nisi & proximum tuum damnares. Quid igitur Publicanus cùm hæc audiisset? [nequaquam dixit:] non potes ista mihi obiicere: vndenam quippe nosti vitam meam? Non nutritus es mecum, non mecum habitasti, non mecum pactus es: cur ita te iactas? cur adeò superbis? Tu enim quare commendas bona opera tua? Quare teipsum laudas? Quare teipsum describis? Sed nihil horum dixit Publicanus; verùm demisso capite adorauit ac dixit: *Domine, propitius esto mihi peccatori*; & humilem cùm se præbuisset Publicanus, iustus factus est. Pharisæus enim descendit de templo amissâ iustitiâ, Publicanus autem iustitiam adeptus descendit. Et à verbis facta victa sunt. Nam ille quidem operibus à iustitia excidit, hic verò humilitatis sermone acquisiuit iustitiam. Et

quid erat humilitatis in eo? Humilitas enim tunc est, cùm aliquis qui magnus est seipsum demittit : hoc verò non erat Publicani humilitas, sed veritas erat. Verè quippe peccator erat & valde peccator. Quid enim, quæso, publicano peius est ? Alienarum ille calamitatum negotiator, alienorum laborum commensor est : & laborem quidem non videt, lucri autem partem accipit : peccatum itaque publicani summum est. Nihil enim aliud est publicanus, quàm libera confidénsque violentia, quàm legibus concessum peccatum, quàm speciosa rapina ? Quid enim, quæso, publicano peius, qui sedet iuxta viam, & alienorum laborum fructus colligit ? & cùm laborandum est, nihil ipsi est curæ : cùm autem lucrum obuenit, partem sumit eorum in quibus non laborauit. Publicanus itaque peccator verè erat. Veritatem igitur prolocutus est cùm dixit : *Domine, propitius esto mihi peccatori.* Quòd si veritatem locutus, nempe se esse peccatorem, tan-

τί ἦν ταπεινοφροσύνης ἐκείνῳ; ταπεινοφροσύνη γὰρ τότε ἐστίν, ὅταν μέγας τις ὢν ἑαυτὸν ταπεινοῖ. τοῦτο δὲ οὐκ ἦν τοῦ τελώνου ταπεινοφροσύνη, ἀλλ' ἀλήθεια. ἀληθῶς γὰρ ἁμαρτωλὸς ἦν, καὶ σφόδρα ἁμαρτωλός. τί γὰρ χεῖρον τελώνου, εἰπέ μοι; τῶν ἀλλοτρίων συμφορῶν πραγματευτής, τῶν ἀλλοτρίων πόνων συμμετρητής· καὶ τὸν μὲν κάματον οὐκ ἔβλεπε, τὸ δὲ κέρδος ἐμέριζεν. ὥστε ἐσχάτη ἁμαρτία τοῦ τελώνου. οὐδὲν γὰρ ἄλλο ἐστὶ τελώνης, ἢ πεπαρρησιασμένη βία, ἢ ἔννομος ἁμαρτία, ἢ εὐπρόσωπος πλεονεξία; τί γὰρ χεῖρον τελώνου, εἰπέ μοι, καθεζομένου κατὰ τὴν ὁδὸν, καὶ ἀλλοτρίων πόνων τοὺς καρποὺς τρυγῶντος; καὶ ὅτε μὲν ὁ κάματος, οὐδεμία φροντὶς αὐτῷ· ὅτε δὲ τὸ κέρδος, ἐξ ὧν οὐκ ἔκαμε τὴν μερίδα λαμβάνει. ὥστε ἀληθῶς ἦν ἁμαρτωλός. ἀλήθειαν οὖν εἶπεν, λέγων· ἱλάσθητί μοι κύριε τῷ ἁμαρτωλῷ· εἰ δὲ ἀλήθειαν εἰρηκὼς, ὅτι ἁμαρτωλὸς ἦν,

τοσαύτην ἔτυχε δωρεᾶς· πόσῳ μᾶλλον ὁ ταπεινοφρονῶν. ὥστε οὖν ὁμολογήσας τὰ ἁμαρτήματα καὶ ἀληθεύσας, δίκαιος ἐγένετο. θέλεις δὲ μαθεῖν, ταπεινόφρων τίς ἐστι; βλέπε παῦλον τὸν ταπεινόφρονα, παῦλον τὸν διδάσκαλον τῆς οἰκουμένης, τὸν ῥήτορα τὸν πνευματικόν, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν λιμένα τὸν ἀκαταμάχητον, τὸν πύργον τὸν ἀσάλευτον, τὸν ἐν ἑνὶ σώματι τὴν οἰκουμένην πυκτεύσαντα. βλέπε αὐτὸν καθάπερ ὑπόπτερόν τινα τὴν οἰκουμένην περιδραμόντα. βλέπε ἐκεῖνον ταπεινοφρονοῦντα, τὸν ἰδιώτην καὶ φιλόσοφον, τὸν πένητα καὶ πλούσιον. ἐκεῖνον ἀληθῶς ταπεινόφρονα λέγω, τὸν μυρίους καμάτους ὑπομείναντα, τὸν μυρία τρόπαια κατὰ τοῦ διαβόλου στήσαντα, τὸν κηρύττοντα· ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα. ὁ φυλακὰς ὑπομένων καὶ πληγὰς καὶ μάστιγας, ὁ διὰ τῶν ἐπιστολῶν τὴν οἰκουμένην σαγηνεύσας, ὁ οὐρανίῳ φωνῇ κληθεὶς, ἐκεῖνος ταπεινοφρονεῖ λέγων· ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς κληθῆναι ἀπόστολος. τοῦτο

tam consecutus est indulgentiam; quantò magis qui verè humilis erit. Confessus igitur peccata & vera dicens iustus factus est. Vis autem scire quis sit humilis? Aspice Paulum humilem, Paulum magistrum orbis, oratorem spiritualem, vas electionis, portum inexpugnabilem, turrim inconcussam, qui vno corpore orbem terrarum expugnauit. Aspice illum vniuersam terram instar aligeri cuiusdam percurrentem. Aspice illum humiliter de se putantem, idiotam & philosophum, egenum ac diuitem. Illum verè humilem dico, qui labores innumeros tolerauit, qui innumera trophæa contra diabolum statuit, qui prædicauit: *Gratia eius, quæ in me vacua non fuit, sed abundantiùs illis omnibus laboraui.* (1. Cor. 15. 10.) Qui carceres sustinuit & plagas & verbera, qui per epistolas orbem terrarum velut euerriculo inclusit, qui voce cœlesti vocatus est: ille humiliter de se sentit dicens: *Ego enim sum minimus Apostolorum, qui non sum dignus vocari Apostolus.* (Ib. 9.) Hoc

verè humilitas est, inde soluisse, & se minimum appellare. Cogita quisnam esset qui in hæc verba prorumpebat. Paulus cœli ciuis, qui corpore vtcumque ac ex necessitate erat circumdatus, columna ecclesiarum, terrestris Angelus & cœlestis homo. Libenter enim immoror viro: nam video virtutum eius pulcritudinem. Non ita sol exoriens, ac splendidos emittens radios, oculos meos exhilarat, vt aspectus Pauli meam illustrat mentem. Sol enim sensibilem quidem oculum illuminat: Paulus verò ad ipsos cœlorum fornices facit euolare hominem, eúmque sole excelsiorem ac luna sublimiorem reddit. Tanta quippe virtutis vis est: ex homine Angelum facit, animam in cœlum euehit. Hanc virtutem nos docet Paulus. Sed non oportet à proposito digredi. Scopus autem erat, ostendere tertiam pœnitentiæ viam, nimirum humilitatem; & quòd Publicanus humilis fuerit, imò non fuerit humilis, sed veritatem dixerit, cùm propria

ἀληθῶς ταπεινοφροσύνη, τὸ ἐντεῦθεν σαλεῦσαι, καὶ αὑτὸν ἐλάχιστον καλεῖν. ἐννόησον τίς ἐστιν ὁ ἐπιὼν τὰ ῥήματα ταῦτα. παῦλος ὁ οὐρανοπολίτης, ὁ τὸ σῶμα ἁπλῶς περικείμενος, ὁ στῦλος τῶν ἐκκλησιῶν, ὁ ἐπίγειος ἄγγελος καὶ ἐπουράνιος ἄνθρωπος. ἡδέως γὰρ ἐνδιατρίβω τῷ ἀνδρί· ὁρῶ γὰρ αὐτοῦ τὸ κάλλος τῆς ἀρετῆς. οὐχ οὕτως ἥλιος ἀνατείλας * λαμπρὰς ἀκτῖνας ἀφεὶς εὐφραίνει μου τὰς ὄψεις, ὡς τὸ πρόσωπον παύλου καταυγάζει μου τὴν διάνοιαν· ὁ μὲν γὰρ ἥλιος αἰσθητὴν ὄψιν φωτίζει, ὁ δὲ παῦλος εἰς αὐτὰς ἀναπτεροῖ τὰς ἁψῖδας τῶν οὐρανῶν, καὶ ψιλώτερον τοῦ ἡλίου ἐργάζεται, καὶ ἀνώτερον τῆς σελήνης. τοσαύτη γὰρ ἡ δύναμις τῆς ἀρετῆς, ἄνθρωπον ἄγγελον ποιεῖ, τὴν ψυχὴν ἀναπτεροῖ εἰς τὸν οὐρανόν. ταύτην τὴν ἀρετὴν διδάσκει ἡμᾶς ὁ παῦλος. ἀλλ' οὐ δεῖ διεξελθεῖν τοῦ προκειμένου· δεῖξαι γὰρ ἦν σκοπὸν τρίτον ὁδὸν ταπεινοφροσύνης, ὅτι ὁ τελώνης ἐταπεινοφρόνησε, μᾶλλον δὲ οὐκ ἐταπεινοφρόνησεν, ἀλλ' ἀλήθειαν εἶπεν, τὰς ἰδίας

ἁμαρ-

* ed. add. καὶ

ἁμαρτίας γυμνώσας, καὶ δίκαιος ἐγένετο, οὐ χρήματα καταβαλών, οὔτε πελάγη διατεμών, οὔτε πολλὴν ὁδὸν διοδεύσας, οὔτε ἄπειρα πελάγη διαπεράσας, οὔτε φίλους ἀξιώσας, οὔτε χρόνον καταναλώσας, ἀλλὰ διὰ τὴν ταπεινοφροσύνην δικαιοσύνην ἐπέτυχεν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

peccata nudauit; quódque iustus euaserit, non cùm pecunias soluisset, nec cùm maria secuisset, nec cùm multam viam permeasset, nec cùm immensa æquora pertransisset, nec cùm amicos rogasset, nec cùm tempus consumpsisset; sed quòd propter humilitatem adeptus fuerit iustitiam: quam vtinam nos omnes consequamur gratiâ & benignitate Domini nostri Iesu Christi, cui gloria in sæcula sæculorum. Amen.

Τοῦ αὐτοῦ εἰς τὸν δαβὶδ τὸν βασιλέα, καὶ παῦλον τὸν ἀπόστολον, περὶ μετανοίας, καὶ εἰς διάφορα ῥήματα τοῦ ψαλτῆρος εἰς τὸ τοῦ χριστοῦ τέλος ἐσχηκότα, καὶ περὶ τοῦ μὴ ἀπογινώσκειν ἡμᾶς τὴν σωτηρίαν ἑαυτῶν.

Eiusdem in Dauidem Regem & Paulum Apostolum, de pœnitentia; & in varia dicta Psalmistæ, quæ ad Christi finem pertinent; & quòd non debemus desperare salutem nostram.

ΑΡΤΙΩΣ ἠκούσατε τοῦ ὑμνογράφου δαβὶδ βοῶντος· ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. καὶ πάλιν· καρδίαν καθαρὰν

MODO audiistis hymnorum scriptorem Dauidem clamantem: 2. *Miserere mei Deus secundùm magnam misericordiam tuam: & secundùm multitudinem miserationum tuarum dele iniquitatem meam.* Et iterum: 12. *Cor mundum* *in Psal. 50.*

crea in me Deus, & spiritum rectum innoua in visceribus meis. Dauid clamat. Quare autem Propheta dicit: *Miserere mei Deus secundùm magnam misericordiam tuam?* Quia vbi misericordia, ibi salus est expers disquisitionis: vbi misericordia, iudicium non sedet: vbi misericordia, rationes non reposcuntur. Semel misericordiam consequi cupio . . . . & cur Dauid clamat: *Cor mundum crea in me Deus?* Qui tot præclara facinora gesserat, qui tropæa erexerat, qui Goliathum interfecerat, & leonem suffocauerat, qui & tantam habebat libertatem spiritus sancti, ille dicit: *Miserere mei Deus secundùm magnam misericordiam tuam: & secundùm multitudinem miserationum tuarum dele iniquitatem meam.* Cùm essem homo agricola, regem me fecisti: regem factum, prophetam constituisti: in bello vt vincerem effecisti, cùm Goliathum non naturali corporis vi, sed virtute fidei prostraui: purpuram amiciuisti me: alium è regno eiecisti, & me in illius

κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. ὁ δαβὶδ βοᾷ. καὶ τίνος ἕνεκεν ὁ προφήτης λέγει· ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου; ἐπειδὴ ὅπου ἔλεος, ἀνεξέταστος σωτηρία· ὅπου ἔλεος, δικαστήριον οὐ καθέζεται· ὅπου ἔλεος, εὐθύναι οὐκ ἀπαιτοῦνται. ἅπαξ ἐλεηθῆναι ζητῶ. . . . . καὶ διὰ τί βοᾷ δαβίδ· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός; ὁ μετὰ πλῆθος κατορθωμάτων, ὁ μετὰ τρόπαια, ὁ τὸν γολιὰθ ἀποκτείνας, καὶ τὸν λέοντα πνίξας, ὁ καὶ τηλικαύτην παρρησίαν ἔχων πνεύματος ἁγίου, λέγει· ἐλέησόν με ὁ θεὸς κατὰ τὸ ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. ἄνθρωπόν με ὄντα γεωργὸν, βασιλέα ἐποίησας· βασιλέα γενόμενον, προφήτην κατέστησας· ἐν τῷ πολέμῳ νικῆσαί με ἐποίησας, τὸν γολιὰθ καταβαλόντα οὐ* φύσεως σώματος, ἀλλὰ δυνάμει πίστεως· πορφυρίδα περιέβαλές με· ἄλλον ἐξέβαλες, καὶ ἐμὲ

*l. φύσει

ἐπεισήγαγες· πλοῦτόν μοι δέδωκας. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἐπαλαίωσεν ἡ ἁμαρτία, ἐνεκαίνισεν ἡ χάρις. καὶ τί δώσεις ὦ προφῆτα; διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. ἀφεὶς εἶπεν τὴν βασιλείαν καὶ προφητείαν, οὕτω με ἐτίμησας, τὸν υἱόν σου ἀπεκάλυψάς μοι καὶ ἐμοὶ γνώριμον ἐποίησας. ἔμαθον ὅτι υἱὸν ἔχεις ἀνθρωπογενῆ. ἔγνων ὅτι σύνθρονον ἔχεις. εὐηγγελισάμην τῇ οἰκουμένῃ τὸν σταυρόν, τὸν τάφον, τὴν κατάβασιν, τὴν ἀνάστασιν. εἶπον αὐτοῦ τὸ δικαστήριον· εἶπον τὴν σωτηρίαν τῶν ἐθνῶν· εἶπον τῶν ἀποστόλων τὴν ἐκλογήν· εἶπον τῶν ἰουδαίων τὴν ἐκβολήν· εἶπον τῆς ἐκκλησίας τὴν κλῆσιν· εἶπον τῶν παρθένων τὸν χορόν· εἶπον τὴν ἐκ δεξιῶν καθέδραν. ἰδοὺ γὰρ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. καὶ ποῦ ταῦτα ἐδήλωσε; ἄκουσον αὐτοῦ τοῦ προφήτου λέγοντος τὴν ἐξ οὐρανοῦ κατάβασιν αὐτοῦ· καὶ καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. ἐπειδὴ παραγινόμενος ὁ υἱὸς τοῦ

locum ſubſtituiſti: mihi opes dediſti. 6. *Vt iuſtificeris in ſermonibus tuis, & vincas cùm iudicaris.* Inueterauerat me peccatum, renouauit gratia. Et quid pro his dederis ô Propheta? 15. *Docebo iniquos vias tuas, & impij ad te conuertentur.* omittit commemorare regnum, & prophetiam dicit. Me tanto honore affeciſti, vt filium tuum mihi reuelaris ac notum feceris. Didici te habere filium natum de muliere. Cognoui te habere qui tecum in eodem throno ſedeat. Orbi terrarum nuntiaui fauſtum nuntium, crucem ſcilicet, ſepulturam, deſcenſum, reſurrectionem. Dixi eiuſdem filij tui tribunal: dixi gentium ſalutem: dixi Apoſtolorum delectum: dixi Iudæorum deiectionem: dixi Eccleſiæ vocationem: dixi virginum chorum: dixi ſedem à dextris. 8. *Ecce enim incerta & occulta ſapientiæ tuæ manifeſtaſti mihi.* Et vbi hæc manifeſtauit? Audi Prophetam eundem loquentem de Chriſti è cœlo deſcenſu: *Et deſcendet ſicut pluuia in vellus.* Pſ.71.6.
Quia cùm aduenit filius

Dei, non ita venit, vt quateret orbem, nec vt fulgura emitteret, nec vt fulmina eiacularetur, nec cum nuda diuinitate venit. Si enim nudam exhibuiſſet deïtatem, non vtique montes ſuſtinuiſſent. Sol certè fuiſſet exſtinctus. Si nudam ſubſtantiam ſuam monſtraſſet, luna ex oculis ſublata fuiſſet, terra periiſſet, noſtrûm omnium natura emarcuiſſet. Propter hoc ſedatè ac ſine ſtrepitu deſcendens, nemine ſciente & ſenſim ſine ſenſu acceſſit, vterúmque virgineum habitauit. O nouas & inopinatas res! Lapis liqueſcit, & vterus non liquefit. Montes labefactantur, & vterus Deum portat. Quomodo id interpreter, quomodo exhibeam? O blaſphemi hominis vecordiam! Quomodo ancilla Deum geſtauit in vtero? Qui ſupera examinas, eloquere inferiora. Qui vbique præſens eſt, quomodo erat in vtero, & in cœlo? At ego quidem quòd & in ſolio ſederet & in vtero virginis habitaret ſcio; quo autem modo, id neſcio. Fide accipio, mente ac cogitatione

θεοῦ, οὐκ ἦλθε σείων τὴν οἰκουμένην, οὐδὲ ἀστραπὰς ἀφεὶς, οὐδὲ κεραυνοὺς ἐκπέμπων, οὐδὲ γυμνῇ τῇ θεότητι. Εἰ γὰρ γυμνὴν παρέσχε τὴν θεότητα, οὐκ ἂν τὰ ὄρη ἤνεγκαν, ἥλιος ἂν ἐσβέσθη. Εἰ γυμνὴν τὴν οὐσίαν ἀπέδειξεν, ἡ σελήνη ἂν ἠφανίσθη, ἡ γῆ ἂν ἀπόλετο, ἡ φύσις ἡμῶν πάντων ἐμαραίνετο. Διὰ τοῦτο ἠρέμα καὶ ἀψοφητὶ ἐρχόμενος, οὐδενὸς ἐπισταμένου, ἀλλὰ ἠρέμα ἦλθεν, καὶ μήτραν παρθενικὴν ᾤκησεν. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. ὁ λίθος τήκεται, καὶ μήτρα οὐ τήκεται. τὰ ὄρη διαφθείρονται, καὶ ἡ μήτρα θεὸν ἐβάσταζεν. πῶς ἑρμηνεύσω, πῶς παραστήσω; ὢ ἀπόνοια τοῦ βλασφήμου. πῶς ἡ δούλη τὸν θεὸν ἐβάσταξεν; ὁ ἐξετάζων τὰ ἄνω, εἰπὲ τὰ κάτω. ὁ πανταχοῦ παρών, πῶς ἐν μήτρᾳ ἦν, καὶ ἐν οὐρανῷ ἦν; ἀλλ' ἐγὼ μὲν ὅτι καὶ ἐν τῷ θρόνῳ ἐκαθέζετο, καὶ ἐν τῇ μήτρᾳ τῆς παρθένου κατῴκει, οἶδα· τὸ δὲ πῶς οὐκ οἶδα. πίστει δέχομαι, οὐ περιεργάζομαι

τῷ λόγῳ· ἀλλ' ὅτι ὤφθη, ἀλλ'
ὅτι μέλλει παραγίνεσθαι οὐ πα-
ρατάτων, οὐδὲ θορυβῶν, οὐκ ἀπολ-
λύων, οὐδὲ * λυόμενος. καὶ κατα- * l. λυμαινόμενος
βήσεται ὡς ὑετὸς ἐπὶ πόκον. εἶπες
τὴν βασιλείαν, εἰπὲ αὐτοῦ καὶ τὴν
προδοσίαν· ὁ ἐσθίων ἄρτους μου
ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.
εἰπὲ αὐτοῦ καὶ τὸ δικαστήριον· ἵνα τί
ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτη-
σαν κενά; λέγε καὶ τὸν σταυρόν· ὤ-
ρυξάν χεῖράς μου καὶ πόδας μου,
ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.
εἰπὲ αὐτοῦ καὶ τὴν χολήν· ἔδωκαν
εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς
τὴν δίψαν μου ἐπότισάν με ὄξος.
εἰπὲ αὐτοῦ καὶ τὸ χρίσμα· ἐλίπα-
νας ἐν ἐλαίῳ τὴν κεφαλήν μου. εἰ-
πὲ αὐτοῦ καὶ τὸ βάπτισμα· ἐπ' * ὕ- * ἐπὶ ὕδ.
δατος ἀναπαύσεως ἐξέθρεψέ με.
εἰπὲ αὐτοῦ καὶ τὰ μυστήρια· ἡτοίμα-
σας ἐνώπιόν μου τράπεζαν ἐξ ἐν-
αντίας τῶν θλιβόντων με. εἰπὲ αὐτοῦ καὶ
τὸ ποτήριον· τὸ ποτήριόν σου μεθύ-
σκον με, ὡσεὶ κράτιστον, εἰπὲ καὶ τὴν ἐκ-
βολὴν τῶν ἰουδαίων· οὐ δέξομαι ἐκ τοῦ
οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων
σου χιμάρους. λέγε αὐτοῦ καὶ τὰς πα-
ρὰ ἰουδαίων λοιδορείας· ἤλπισεν ἐ-
πὶ κύριον, ῥυσάσθω αὐτόν, σωσάτω

non inquiro. Sed ſcio quòd
viſus ſit, quódque ſit ven-
turus, non turbas ciens ne-
que tumultus, non perdens
neque vaſtans. *Et deſcendet
ſicut pluuia in vellus.* Dixi-
ſti ô Dauid regnum Chri-
ſti, dic & proditionem:
Qui edebat panes meos, ma- Pſ. 40.
gnificauit ſuper me ſupplan- 10.
tationem. Dic & iudicium
illius. *Quare fremuerunt* Pſ. 2. 1.
gentes, & populi meditati
ſunt inania? Dic etiam cru-
cem. *Foderunt manus meas* Pſ. 21.
& pedes meos: dinumera- 18.
uerunt omnia oſſa mea. Dic
quoque fel ipſius. *Dederunt* Pſ. 68.
in eſcam meam fel, & in ſiti 22.
mea potauerunt me aceto. Dic
ipſius & vnctionem. *Impin-* Pſ. 22. 5.
guaſti in oleo caput meum.
Dic ipſius & baptiſma. *Su-* Ib. 2.
per aquam refectionis edu-
cauit me. Dic ipſius & my-
ſteria. *Paraſti in conſpectu* Ib. 5.
meo menſam, aduerſus eos
qui tribulant me. Dic ipſius
& calicem. *Calix tuus in-* Ib.
ebrians me quàm præclarus.
Dic & Iudæorum eiectio-
nem. *Non accipiam de domo* Pſ. 49.
tua vitulos, neque de gre- 9.
gibus tuis hircos. Dic etiam
conuicia quæ à Iudæis au-
diit. *Sperauit in Dominum,* Pſ. 21. 9.
eripiat eum, ſaluum faciat

eum, quia vult eum. Dic
quoque gentium salutem.
Ps. 2. 8. *Postula à me, & dabo tibi*
gentes hæreditatem tuam.
Dic ipsius & sepulturam.
Ps. 15. 10. *Quoniam non derelinques*
animam meam in inferno,
nec dabis sanctum tuum vi-
dere corruptionem. Dic il-
lius & in cœlos receptio-
Ps. 46. 6. nem. *Ascendit Deus in iu-*
bilo, Dominus in voce tu-
bæ. Dic & Apostolorum
Ps. 44. 17. delectum. *Pro patribus tuis*
nati sunt tibi filij. Dic etiam
Ib. 15. chorum virginum. *Addu-*
centur regi virgines post
eam. Dic item Ecclesiæ vo-
Ib. 10. cationem. *Astitit regina à*
dextris tuis, in vestitu deau-
rato circumamicta, varie-
gata. Dic eius & sessionem
Ps. 109. 1. à dextris. *Dixit Dominus*
Domino meo; sede à dextris
meis. Donec ponam inimicos
tuos scabellum pedum tuo-
rum. O Dauid vniuersam
prophetiam annuntiasti, &
quare vociferaris: *Cor mun-*
dum crea in me Deus, &
spiritum rectum innoua in
visceribus meis? Rex es,
diademate redimitus es,
purpurâ amictus. Sed ait:
folia sunt hæc, & nox,
& somnium. Pulcritudi-
nem illam veram quæro.

αὐτὸν, ὅτι θέλει αὐτόν. εἰπὲ καὶ τὴν τῶν
ἐθνῶν σωτηρίαν· αἴτησαι παρ' ἐ-
μοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονο-
μίαν σου. εἰπὲ αὐτοῦ καὶ τὸν τάφον· ὅτι
οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου
εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰ-
δεῖν διαφθοράν. εἰπὲ αὐτοῦ καὶ τὴν εἰς
οὐρανοὺς ἀνάληψιν· ἀνέβη ὁ θεὸς
ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ
σάλπιγγος. εἰπὲ καὶ τῶν ἀποστόλων τὴν
ἐκλογήν· ἀντὶ τῶν πατέρων σου ἐ-
γεννήθησάν σοι υἱοί. εἰπὲ καὶ τὸν χορὸν
τῶν παρθένων· ἀπενεχθήσονται τῷ
βασιλεῖ παρθένοι ὀπίσω αὐτοῦ. εἰ-
πὲ καὶ τῆς ἐκκλησίας τὴν κλῆσιν· πα-
ρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου,
ἐν ἱματισμῷ διαχρύσῳ περιβε-
βλημένη, πεποικιλμένη. εἰπὲ
αὐτοῦ καὶ τὴν ἐκ δεξιῶν καθέδραν·
εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· κά-
θου ἐκ δεξιῶν μου. ἕως ἂν θῶ τοὺς
ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
ὦ δαβὶδ πᾶσαν τὴν προφητείαν
ἀπήγγειλας, καὶ τί βοᾷς· καρδίαν
καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ
πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς
ἐγκάτοις μου; βασιλεὺς εἶ, διαδή-
ματι περίκεισαι, πορφυρίδα περιε-
βάλου· ἀλλὰ λέγει· φύλλα ταῦτα, καὶ
νὺξ καὶ ὄναρ. τὸ κάλλος ἐκεῖνο ζητῶ.

δός μοι τὸ πνεῦμα τὸ ἅγιον, ἵνα πάλιν λαλήσῃς μοι, κἀγὼ λαλήσω σοι. ἀπέστη γὰρ ἀπ' ἐμοῦ τὸ πνεῦμα, καθάπερ περιστερὰ βόρβορον βλέπουσα. βούλομαι αὐτὴν ἐπανελθεῖν. τότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ σου. οὐ δύναμαι ὑπενεγκεῖν, ἐπειδὴ τὴν παρρησίαν ἀπώλεσα. ὁρᾷς τὸν δαβὶδ ἐξομολογούμενον τῷ θεῷ. βλέπε πόσον κακὸν ἡ ἁμαρτία. καὶ ποία ἁμαρτία; μοιχεία καὶ φόνος καὶ νόμου παράβασις, ἀθέτησις λόγων θεοῦ. καὶ ταῦτα λέγων οὐ κατηγορῶ τοῦ προφήτου, ἀλλὰ τὴν ταχεῖαν αὐτοῦ μετάνοιαν ἀπαγγέλλω. ἀλλὰ γὰρ ἔπρεπεν τῷ προφήτῃ πληρῶσαι τὸ γεγραμμένον· λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς· τοῦτο γὰρ αὐτὸν καὶ ἐδικαίωσεν, ἡμάρτηκα τῷ θεῷ λέγων. ἀλλ' ἦλθεν ὁ προφήτης νάθαν καὶ εἶπεν· καὶ κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. σύντομος ἡ ἁμαρτία, συντομωτέρα ἡ ἐξομολόγησις. ἐπειδὴ γὰρ ἥμαρτεν πρὸς τὴν τοῦ οὐρίου γυναῖκα, ἡττᾶτο ὑπὸ τῆς ἁμαρτίας, καὶ γράψας ψαλμὸν, εἶπεν· ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μέγα ἔλεός σου. καὶ διὰ

Da mihi ſpiritum ſanctum, vt iterum alloquaris me, & ego tecum loquar. Abſceſſit enim à me ſpiritus, quemadmodum columba lutum aſpiciens. Cupio ipſam reuerti. Tunc veniam, & comparebo ante faciem tuam. Non valeo ſuſtinere, quandoquidem fiduciam amiſi. Vides Dauidem confiteri Deo. Cerne quantum malum peccatum ſit. Et quale peccatum? Adulterium & homicidium & legis tranſgreſſio, ſermonum Dei contemptus. Atque dum hæc dico, Prophetam non accuſo: at celerem illius pœnitentiam annuntio. Sed enim decebat Prophetam adimplere quod ſcriptum eſt: *Dic tu primus* Is. 43.
peccata tua, vt iuſtificeris. 26.
Id enim illum etiam iuſtificauit, dum dicit: *Peccaui Domino.* 2. Reg. 12. 13.
Verùm venit Propheta Nathan, ac dixit: *& Dominus abſtulit peccatum tuum.* Breue peccatum, breuior confeſſio. Ex quo enim peccauerat cum vxore Vriæ, ſuperabatur à peccato, atque ſcripto pſalmo dixit: *Miſerere mei Deus ſecundùm magnam miſericordiam tuam.* Et per

omnimodam confeſſionem accepit ſolutionem omnis peccati. Sed & Paulus quomodo miſericordiam con-
Act. 9. 4. ſecutus eſt? *Saule, Saule, quid me perſequeris?* O Domini clementiam! Homini dicit: *Quid me perſequeris?* Patrem ſuum imitatur. Is etenim populo Hebraïco
Mich. 6. 3. ait: *Populus meus quid iniuriæ tibi feci, aut in quo moleſtus fui tibi? Reſponde mihi.* Pari modo filius Dei dicebat: *Saule, Saule, quid me perſequeris?* Quid ergo
Act. 9. 5. Paulus ad hæc? *Quis es Domine qui loqueris mihi?* O candidum ſeruum, ſtatim dominatum confeſſus eſt, cùm dixit: *Quis es Domine?* Dominus autem ad illum: *Ego ſum*, inquit, *Ieſus Nazarenus, quem tu perſequeris: ſed ſurge ac ingredere Damaſcum: & ibi dicetur tibi quid te oporteat facere.* Et qui olim lupus erat, nunc ouis eſt. Qui aliquando perſecutor, nunc prædicator ac Euangeliſta. Qui modò lolium, nunc triticum. Qui nuper pirata erat & naues in pontum demergebat, nunc populi gubernator eſt. Qui antea vaſtabat Eccleſiam, nunc

πάσης τῆς ἐξομολογήσεως λύσιν ἐδέξατο πάσης ἁμαρτίας. ἀλλὰ καὶ παῦλος πῶς ἐλεήθη; σαοὺλ σαοὺλ τί με διώκεις; ὢ φιλανθρωπία δεσπότου. ἀνθρώπῳ λέγει· τί με διώκεις; τὸν πατέρα τὸν ἑαυτοῦ μιμεῖται. καὶ γὰρ ἐκεῖνος τῷ δήμῳ τῷ ἑβραϊκῷ διαλέγεται· λαός μου τί ἠδίκησά σε, ἢ τί παρενώχλησά σοι; ἀποκρίθητί μοι. καὶ ὁ υἱὸς αὐτοῦ ἔλεγε· σαοὺλ σαοὺλ τί με διώκεις; τί οὖν παῦλος; τίς εἶ κύριε, ὁ λαλῶν μοι; ὢ εὐγνώμονος δούλου. εὐθέως τὴν δεσποτείαν ὡμολόγησεν, τίς εἶ κύριε, εἰπών. ὁ δὲ κύριος πρὸς αὐτόν· ἐγώ εἰμι ἰησοῦς ὁ ναζαραῖος ὃν σὺ διώκεις· ἀλλὰ ἀναστὰς εἴσελθε εἰς δαμασκὸν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιεῖν. καὶ ὁ ποτὲ λύκος, νῦν πρόβατον. ὁ ποτὲ διώκτης, νῦν εὐαγγελιστής. ὁ ποτὲ ζιζάνιον, νῦν σῖτος. ὁ ποτὲ πειρατὴς καὶ καταποντιστὴς, νῦν κυβερνήτης λαοῦ. ὁ ποτὲ πορθῶν τὴν ἐκκλησίαν, νῦν

πι-

πιστευόμενος αὐτήν. ὁ ποτὲ τὰς ἀμπέλους ἐκκόπτων, νῦν φυτουργὸς γινόμενος. ὁ ποτὲ μόλυβδος, νῦν χρυσὸς γινόμενος. καὶ σὺ βόησον, ἀγαπητὲ, ὅτι μέγας ὁ θόρυβος τῶν ἁμαρτημάτων, καὶ εὐθέως ἀκούσῃ· ἀλλὰ πολλὴ ἡ τοῦ δεσπότου φιλανθρωπία. ἐγένετο γὰρ θεὸς ἄνθρωπος, καὶ εἰσῆλθεν εἰς μήτραν παρθενικὴν, καὶ ᾤκησεν. καὶ τίνας ἐκάλεσεν; μάγους. μετ' ἐκείνους, τίνα; πόρνην. μετ' ἐκείνην, τίνα; λῃστήν. μετ' ἐκεῖνον, τίνα; βλάσφημον. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. τὰ ἀκροθίνια τῆς κλήσεως ἡ τυραννὶς τῆς ἁμαρτίας. διότι κακῶς διέκειτο τὰ τῆς οἰκουμένης πράγματα. ἄνθρωποι μὲν ὕπνῳ ἁμαρτίας, καὶ ἰουδαϊσμῷ, καὶ ἀπογνώσει πολλῇ κατείχοντο. διὰ τοῦτο τοίνυν ἐλθὼν, ἐκ προοιμίων τὰ ἀκροθίνια τῆς ἐκκλησίας ἐκάλεσεν, ἵνα μηδεὶς μετὰ ταῦτα ἀπογινώσκῃ τῆς ἑαυτοῦ σωτηρίας. ἀσεβὴς εἶ; ἐννόησον τὸν λῃστήν. ἀκάθαρτος εἶ; ἐννόησον τὴν πόρνην. βλάσφημος εἶ; ἐννόησον τὸν παῦλον, τὸν βλάσφημον. ἄπιστος εἶ; ἐννόησον

illam in fidem suam accipit. Qui quandoque vites exscindebat, nunc vinitor est factus. Qui quondam plumbum erat, in aurum mutatus est. Tu quoque clama, carissime, quia magnus est strepitus peccatorum: & illico audies: sed multus Domini erga homines amor. Deus enim se hominem fecit, & introiuit in vterum virgineum, atque in eo habitauit. Et quosnam vocauit? Magos. Post illos autem, quid? Meretricem. Post illam, quem? Latronem. Post illum, quem? Blasphemum. O nouas res atque incredibiles! Primitiæ vocationis, tyrannis peccati. Quia malè se habebant orbis terrarum negotia, & homines quidem somno peccati, ac Iudaismo, ac desperatione multâ detinebantur. Propter hoc itaque cùm venisset Dominus, ab ipsis exordiis ex peccatoribus primitias Ecclesiæ vocauit, vt ne quis post hæc desperet de salute sua. Impius es? Cogita Latronem. Impurus es? Respice Meretricem. Blasphemus es? Reputa Paulum, blasphemum illum. Infidelis es? Con-

ſidera Magos. Noui & ego qualis ſit deſperatio ex peccato. Aſtat quidem diabolus gladium acuens, & te his verbis compellans: per totam tuam vitam habitaſti cum meretricibus: præterea peieraſti; adulteraſti ſupra cunctos huius ſæculi homines. Hæc diaboli verba ſunt. At tu aude contraria iis quæ geſſiſti. Cecidiſti: at reſurge. Scortatus es: pœnitentiam age. Mœchatus es: reſipiſce. Parua quidem eſt pœnitentia tua; ſed magna Domini clementia. Dum reſpiras adhuc, & in ipſo lecto decumbis, pœnitentiam age: Temporis anguſtia benignitatem Dei adducit. His medicamentis inunge te; & inflammationem repreſſeris. Noui enim, cariſſime, multa eſſe animæ vulnera: ſed vnumquodque vulnus, proprium ac conueniens remedium habet paratum. Habes Eccleſiam quæ aduentum ſpiritus efficit. Habes martyrum cœtum, & alia multa quæ te poſſunt à peccato ad iuſtitiam reuocare. Audiiſtis leuia peccata iuſtorum: videte celeritatem pœnitentiæ per verba ac lacrymas

τοὺς μάγους. οἶδα κἀγὼ ὁποία ἐστὶν ἡ ἀπόγνωσις τῆς ἁμαρτίας. ἐφέστη μὲν ὁ διάβολος ξίφος ἀκονῶν, καὶ λέγων σοι τὰ ῥήματα ταῦτα· ὅλον τὸν βίον σου ᾤκησας μετὰ πορνῶν, μετὰ ταῦτα ἐπιόρκησας, ἐμοίχευσας παρὰ ὅλους τοὺς τοῦ παρόντος βίου. ταῦτα τοῦ διαβόλου τὰ ῥήματα. ἀλλὰ σὺ τόλμα ἐναντία. ἔπεσας; ἀλλ' ἀνάστηθι. ἐπόρνευσας; μετανόησον. ἐμοίχευσας; μετάγνωθι. μικρὰ ἡ μετάνοιά σου· ἀλλὰ μεγάλη ἡ τοῦ δεσπότου φιλανθρωπία. ἕως ἐμπνέεις καὶ ἐν αὐτῇ τῇ κλίνῃ κατάκεισαι, μετανόησον· ἡ τοῦ καιροῦ στενοχωρία ἄγει τὴν τοῦ θεοῦ φιλανθρωπίαν. ταῦτα τὰ φάρμακα ἐπάλειψον, καὶ τὴν φλεγμονὴν καταστέλλοις. οἶδα γάρ, ἀγαπητέ, ὅτι πολλὰ τὰ τραύματα τῆς ψυχῆς· ἀλλ' ἕκαστον τραῦμα, ἴδιον ἔχει καὶ κατάλληλον φάρμακον κατασκευασμένον. ἔχεις ἐκκλησίαν ἐπιτελουμένην πνεύματος παρουσίαν. ἔχεις συναθροισμὸν μαρτύρων, καὶ ἄλλα πολλὰ τὰ δυνάμενά σε ἀπὸ ἁμαρτίας εἰς δικαιοσύνην ἀνακαλέσασθαι. ἠκούσατε τὰ εὐτελῆ ἁμαρτήματα τῶν δικαίων· ἴδετε τὸ τάχος τῆς μετανοίας διὰ λό-

τῶν καὶ δακρύων. καὶ γὰρ αὐτὸς ὁ δα-
βὶδ βοᾷ λέγων· ἐν δάκρυσί μου τὴν
στρωμνήν μου βρέξω. καὶ παῦλος
ἔλεγεν· ἀλλ' ἠλεήθην, ὅτι τὸν χρι-
στὸν ἀγνοῶν ἐδίωκον. τοιγαροῦν καὶ
ἡμεῖς μὴ ἀπογνῶμεν τῆς σωτηρίας
ἑαυτῶν, τὴν μνήμην τῶν προημαρ-
τηκότων καὶ βασιλείας τῶν οὐ-
ρανῶν καταξιωθέντων ἔχοντες,
χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ, ὅτι αὐτῷ ἡ δό-
ξα καὶ τὸ κράτος, ἅμα τῷ πατρὶ,
καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τοῦ αὐτοῦ εἰς τό· δεῦτε, ἀγαλ-
λιασώμεθα τῷ κυρίῳ.

ΕΓΕΙΡΕΙ τὸν ὁπλίτην * πρὸς πόλεμον ἡ τῆς σάλ- (*ed. εἰς)
πιγγος βοὴ, καὶ τοῦτον ἕτοιμον πρὸς
μάχην τοῖς πολεμίοις παρίστησιν,
καὶ ναύτας * περὶ ὅρμον βαίνειν ἐπὶ (*ed. παρορμᾶν καὶ)
νηὸς ἡ τοῦ χειμῶνος ἔκβασις κα-
τηνάγκασεν. καὶ ἡμᾶς ὁ μελῳδὸς
δαβὶδ διὰ τῆς * πυκτίδος πανη- (*ed. πηκτίδος)
γυρικὸν ἠχήσας μέλος, ἐπὶ τὴν
πνευματικὴν ταύτην εὐωχίαν ἤ-
γαγε σήμερον. τί γάρ φησιν; δεῦτε,
ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλα-
λάξωμεν τῷ θεῷ τῷ σωτηρίῳ ἡ-

peractæ. Etenim ipse Dauid clamat dicens: *In lacrymis meis stratum meum rigabo.* Ps. 6. 7. Et Paulus dicebat: *Sed misericordiam consecutus sum, quia ignorans persequebar Christum.* 1. Tim. 1. 13. Igitur & nos non desperemus de salute nostra; eorum, qui cùm priùs peccauissent, tamen regno cœlorum dignati sunt, memoriam habentes, gratiâ & humanitate Domini nostri Iesu Christi; quia ipsi gloria & imperium, vnà cum Patre & sancto Spiritu in sæcula sæculorum. Amen.

Eiusdem in illud: Venite, exultemus Domino.

MILITEM excitat ad bellum tubæ clangor, eúmque ad pugnam cum hostibus paratum præstat; & nautas qui in portu sunt, vt nauim conscendant exitus hiemis cogit. Ps. 94. Nos quoque melicus Dauid, dum panegyricum melos personat lyra, ad spiritale hoc conuiuium hodie adduxit. Quid enim ait? *Venite, exultemus Domino: iubilemus Deo salutari no-*

stro. Praeoccupemus faciem eius in confeßione. O Dauidicam vocem! O inuitationem bonam! O spiritalem cibum! *Venite, exultemus Domino: iubilemus Deo salutari nostro. Praeoccupemus faciem eius in confeßione.* O Domini animum ad misericordiam pronum! O Prophetæ admonitionem vocantem ad pœnitentiam! Vidisti, carissime, Dominicæ clementiæ bonitatem, & Prophetici præconij hilaritatem: quomodo omnes nos hortetur ad pietatem, & ad pœnitentiam vocet ac salutem, dicens: *Venite, exultemus Domino.* Deus iussit, Propheta vocauit, nos obediamus. Non enim ad corruptibile prandium inuitauit, ventris auiditatem satiare volens. Sic nos per suauisonam lyram vocat: *Venite, exultemus Domino.* Omnes igitur qui catenis caritatis ipsius constricti sumus, & iugum obedientiæ portamus, accedamus ad Dominum, factâ expiatione eorum quæ per diem commisimus mala. Pœnitentiæ enim est præsens vita; minarum autem & iudicij, futurus aduen-

ἡμῶν. προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ὢ δαβιδικῆς φωνῆς. ὢ κλήσεως ἀγαθῆς. ὢ πνευματικῆς ἐδωδῆς· δεῦτε, ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτηρίῳ ἡμῶν. προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ὢ δεσποτικῆς εὐσπλαγχνίας. ὢ προφητικῆς παραινέσεως καλούσης εἰς μετάνοιαν. Εἶδες, ἀγαπητὲ, δεσποτικῆς εὐσπλαγχνίας ἀγαθότητα, καὶ προφητικοῦ κηρύγματος ἱλαρότητα, πῶς πάντας ἡμᾶς προτρέπεται εἰς * εὐσέβειαν, καὶ * εἰς μετάνοιαν καλεῖ καὶ σωτηρίαν, λέγων· δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ. *θεὸς ἐκέλευσε, προφήτης ἐκάλεσεν, ἡμεῖς *ὑπακούσωμεν. οὐ γὰρ ἐπὶ φθαρτὸν ἄριστον ἐκάλεσεν, γαστρὸς ἐπιθυμίαν κορέσαι βουλόμενος. οὕτως ἡμᾶς διὰ τῆς ἡδυφώνου λύρας καλεῖ· δεῦτε, ἀγαλλιασώμεθα τῷ κυρίῳ. πάντες *οὖν οἱ ταῖς σειραῖς τῆς ἀγάπης *αὐτοῦ συσφίγξαντες, καὶ τὸν ζυγὸν τῆς ὑπακοῆς *βαστάζομεν *προσίεμεν τῷ δεσπότῃ, καθάρσιον τῶν ἐν *ἡμέρᾳ *πραττομένων κακῶν ποιήσαντες. μετανοίας γὰρ ὁ παρὼν βίος, ἀπειλῆς δὲ καὶ κρίσεως ἡ μέλλουσα παρου-

* ed. μετάνοιαν
* ed. πάντας πρὸς εὐσέβειαν καλεῖ
* ed. κύριος
* ed. ἐπακούσ.
* ed. τοίνυν
* ed. ἑαυτοὺς
* ed. βαστάσαντες
* ed. προσέλθωμεν
* ed. ἡμῶν
* ed. πεπραγμένων

σία. ἄκουσον αὐτοῦ τοῦ προφήτου λέγοντος· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; μὴ τοίνυν πολυπλόκοις σειραῖς δεσμείσθω ἡμῶν ἡ διάνοια, ἀλλ' ἐξ ὅλης καρδίας ἱκετεύσωμεν * αὐτόν.* ἑτοιμότερος γάρ ἐστιν ἀκούειν δεήσεως αἰτούντων *. μόνον σὺ μὴ ὀλιγωρήσῃς τοῦ αἰτήσασθαι αὐτόν. ἑτοιμότερος σοῦ ὁ θεὸς πάρεστιν. οὐ χρεία σοι ὁδοιπορείας πολλῆς, οὐδὲ πελάγη διαπερᾶν· ἀλλ' ἄκουσον αὐτοῦ λέγοντος· ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν. οὐ χρεία σοι ἀναλωμάτων πολλῶν καὶ * δαπανῶν, ἀλλ'* ἀποστραφεὶς στέναξον, * καὶ εὐθέως * ἵλεω τὸν δεσπότην κατέστησας. * ἐστράφη ποτὲ ἐζεκίας πρὸς τὸν τοῖχον, οὐ τὸν ἐκ λίθων συγκείμενον, * ἀλλὰ τὸν * διὰ προφητικῆς καὶ ἀποστολικῆς διδασκαλίας * οἰκοδομούμενον. τοῖχον ἐκεῖνον λέγω, περὶ οὗ * παῦλος καυχᾶται λέγων· ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον * τέθηκα. τοῖχον ἐκεῖνον λέγω, * ἐφ' ᾧ * ἡ ἀκρογωνιαῖος λίθος ἐτέθη. λέγω δὴ * χριστόν, περὶ οὗ εἶπεν ἡ γραφή, ὅτι λίθοι ἅγιοι κυλιοθήσονται. τοῖχον ἐκεῖνον λέγω, * δι' ὃν ὁ τοῦ θεοῦ ᾠκοδομήθη ναός. τί ποιεῖς ὦ ἐζε-

* ed. τὸ θεὸν
* ed. ἕτοιμος
* ed. add. αὐτὸν
* ed. δαπάνης
* ed. ἐπιστ.
* ed. add. ἐκ βάθους
* ed. ἵλεων
* ed. ἐπεστράφη
* ed. add. τοῖχον
* ed. ἀπὸ
* ed. ᾠκοδομημένον
* ed. ἀπόστολος
* ed. τέθεικα
* ed. ἐφ' ὃν ὁ
* ed. ὁ χριστὸς
* f. δι' οὗ

tus. Audi eundem Prophetam dicentem : *In inferno autem quis confitebitur tibi?* Ps. 6.6. Ne igitur multiplicibus catenis vinciatur mens noſtra; ſed ex toto corde ſupplicemus Deo. Paratus namque eſt audire deprecationem poſcentium ſe. Tantùm tu non negligas petere ab eo. Paratior te Deus adeſt. Non opus eſt tibi itinere multo, nec maria ſecanda ſunt; ſed audi illum dicentem : *Regnum cælorum intra vos eſt.* Luc. 17. 21. Non opus eſt tibi multis impenſis ac ſumptibus: verùm conuerſus ingemiſce, & illico propitium Dominum reddidiſti. Conuerſus eſt aliquando Ezecias ad parietem, non quidem ex lapidibus compoſitum, ſed ad parietem qui de Prophetica & Apoſtolica doctrina ſtructus eſt. Parietem illum intelligo, de quo Paulus gloriatur dicens: *Vt ſapiens architectus fundamentum poſui.* 1. Cor. 3. 10. Parietem illum dico, in quo angularis lapis poſitus eſt; Chriſtus, inquam, de quo dixit Scriptura: *Lapides ſancti voluentur.* Zach. 9. 16. Parietem illum dico, ex quo ædificatum eſt Dei templum. Quid agis, Ezecia?

Cur te conuertis ad parietem? Quia, inquit, illum parietem quæro qui vitæ dator est ac mortis destructor: illum quæro & ad ipsum confugio. Attamen conuersus ac pœnitens vitam consecutus est, & sententiam Dei in ipsum latam effugit, & quindecim annos vitæ adiecit illi Deus; cúmque hostes circumuallassent ac circumdedissent vrbem, Angelus propugnator factus est, & tantam illam Assyriorum multitudinem prostrauit. Tantùm valuit pœnitentia.
4. Reg. 19. 35. *Egressus est, inquit, Angelus Domini, & in castris Assyriorum interfecit centum octoginta quinque millia:* eorum verò ducem Senacheribum viuum dimisit; ob nihil aliud, vt equidem censeo, nisi quia ad pœnitentiam illum inuitabat Deus. Nempe igitur, vt vidit eum Deus non esse persuasum nec auersum esse à sua malitia, sed rigidum & non affabilem manere; per duos ipsius filios illum morte affecit. Quando enim sperabat se exitialem prorsus ac immissam diuinitus mortem effugisse, & terram suam nactum es-

κία; τί ἀποστρέφῃ πρὸς τὸν τοῖχον; φησίν, ὅτι ἐκεῖνον ζητῶ, τὸν ζωῆς δωτῆρα καὶ θανάτου λυτῆρα. ἐκεῖνον ζητῶ, καὶ ἐπ' αὐτὸν καταφεύγω. ὅμως στραφεὶς καὶ μετανοήσας τὴν ζωὴν ἐκαρπώσατο, καὶ ἀπόφασιν θεοῦ κατ' αὐτοῦ ἐξενεχθεῖσαν ἔφυγεν, καὶ δεκαπέντε ἔτη ζωῆς προσέθηκεν αὐτῷ ὁ θεός, καὶ πολεμίων κύκλῳ περιτειχισαμένων, καὶ κυκλωσάντων τὴν πόλιν, ἄγγελος ὑπέρμαχος ἐγένετο, καὶ τὰ τοσαῦτα πλήθη τῶν ἀσσυρίων κατεστρώννυεν. τοσοῦτον ἴσχυσεν ἡ μετάνοια. ἐξῆλθεν γάρ, φησίν, ἄγγελος κυρίου, καὶ εἰς τὴν παράταξιν τῶν ἀσσυρίων ἀνεῖλεν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας· τὸν δὲ τούτων ἡγούμενον τὸν * σεναχηρεὶβ ζῶντα ἀπέλυσεν, δι' οὐδὲν ἕτερον, ὡς ἔγωγε νομίζω, * ἀλλ' ἢ εἰς μετάνοιαν αὐτὸν προσκαλούμενος ὁ θεός. ἀμέλει γοῦν ὡς εἶδεν αὐτὸν ὁ θεὸς μὴ πεισθέντα μηδὲ ἀποστραφέντα τῆς αὐτοῦ κακίας, ἀλλ' ἀμείλικτόν τινα καὶ δυσέντευκτον ὄντα, ὑπὸ τῶν δύο υἱῶν αὐτοῦ τοῦτον ἐθανάτωσεν. ὅταν γὰρ προσεδόκησε τὸν * πανόλεθρον καὶ θεήλατον ἐκφυγεῖν θάνατον, καὶ εἰς τὴν αὐτοῦ * τυγχάνειν ἐπ

* ed. σεναχειρεὶμ
* ed. ἀλλὰ
* ed. πανώλ
* ed.

ζωὴν, καὶ τὰ τῆς εἰρήνης αὐτῷ ἐν
ed. ἀσφαλείᾳ * ἀσφαλεῖ γενέσθαι· τότε Ἀδρα-
μέλεχ καὶ * Σαρασὰρ οἱ δύο υἱοὶ
ed. Σαρεσὰρ αὐτοῦ σφάζουσιν αὐτὸν, καὶ φεύγουσιν
ἐπὶ τὰ ὄρη Ἀραράτ. θεωρεῖς, ἀγα-
πητὲ, πόσον τῷ Ἐζεκίᾳ συνεβάλε-
ed. καὶ τόσον τῷ το ἡ ἐξομολόγησις; * πόσον δὲ τὸν
* Σεναχηρεὶμ εἰργάσατο κακὸν τὸ
ed. Σεναχειρεὶμ ἐπιμένειν ταῖς ἁμαρτίαις; θέλεις σοι
καὶ ἄλλην ὑποδείξω μετανοίας
ὁδὸν, καὶ θύραν ἐξομολογήσεως; μί-
μησαι τὴν τῶν Βαρβάρων ἐκείνων
μετάνοιαν, τῶν Νινευιτῶν λέγω δή.
ἐκεῖνοι γὰρ οὔτε προφήτου κατή-
κοοι γεγονότες, οὐκ εὐαγγελικὰ
δεξάμενοι ῥήματα, οὐ προτρο-
ed. συντελείας πὴν θεοῦ ἀκούσαντες, οὐ * βασι-
λείας οὐρανῶν εὐαγγελισμὸν δεξά-
μενοι. βλέπε πῶς προσέρχονται
ed. δυσωποῦνται θεῷ, πῶς * δυσωποῦσι θεόν. πῶς
ὀργιζόμενον * αὐτοῖς ἀντικαταλ-
ed. αὐτὸν ἑαυτοῖς λάσσουσι τὸν κύριον. πῶς ἀπόφα-
σιν θεοῦ λύουσιν. πῶς ὀργὴν θεοῦ ἀ-
πώσαντο, καὶ φιλανθρωπίαν ἐπε-
καλέσαντο. πῶς βάραθρον καὶ
κατάπτωμα τὴν πόλιν αὐτῶν τυγ-
χάνουσαν, τείχους αὐτὴν ἰσχυροτέραν
ἐποίησαν, καὶ παντὸς ἀδάμαντος
στεῤῥοτέραν. οὐκ ἐδυσώπησε θεῷ
πορφύρας ἀξίωμα, ἀλλὰ σάκκος·

ſe, & pacem ipſi tutam contigiſſe; tunc Adramelechus & Saraſar duo filij eius iugulant eum, & fugiunt in montes Ararati. Cernis, dilecte, quantum Ezeciæ profuerit confeſſio? Quantùm verò Senacheribo intulerit mali permanſio in peccatis? Vis tibi & aliam demonſtrem pœnitentiæ viam, & ianuam confeſſionis? Imitare Barbarorum illorum pœnitentiam, Niniuitarum dico. Illi enim cùm neque Prophetæ vllius auditores fuiſſent, nec Euangelica accepiſſent verba, nec exhortationem Dei audiiſſent, nec regni cœlorum bonus nuncius ad eos allatus fuiſſet: vide vt adeant Deum, vt Deum flectant ac veluti pudore afficiant. Vt Dominum iraſcentem ſibi reconcilient. Vide quomodo ſententiam Dei ſoluerint. Quo pacto iram Dei repulerint & clementiam aduocarint. Qua ratione ciuitatem ſuam quæ barathrum & ruina erat, muro fortiorem reddiderint ac omni adamante firmiorem. Non placauit ſeu verecundiâ affecit Deum purpuræ dignitas; ſed ſaccus: nec

diadema regium, ac imperium; sed cinis cum sacco: non auratum atque ex gemmis compositum solium; sed confessio. O sacci vis vincens regalem purpuram, eáque acceptior! O cineris potentia diademate & solio regali validior! Cùm enim in diademate Rex esset, & in purpura ac throno; cùm ipse obtineret imperium, hoc est regium sceptrum; cùm exercitus ipsum circumstarent, & multum satellitium vndique eum cingeret: in medium progreditur Propheta nudus, pedibus puluere albis, sudans
Ion. 3. 4. facie, & ait: *Adhuc tres dies, & Niniue subuertetur.* Quid agis, ô Propheta? Si [omnino] spiritus Dei in te est, quare non cognoscis voluntatem Dei? Quòd scilicet non interficere volens, sed ad pœnitentiam reuocare, ideo sententiam tulerit. Nihil mihi, inquit Ionas, aliud dixit Deus, verùm id solummodo dixit: *Adhuc tres dies & Niniue subuertetur.* Quid agis, Iona? Cur & doctrinam aliam non adiicis? Quid enim aliud audiit Esaias à Deo vt diceret ad

οὐδὲ διάδημα βασιλικόν, καὶ κράτος, ἀλλὰ σποδὸς μετὰ σάκκου· οὐ χρυσοκόλλητος θρόνος ἐκ λίθων συγκείμενος, ἀλλ' ἐξομολόγησις. ὢ σάκκου δύναμις * παρευδοκιμᾶσα * ed. παρευδοκιμοῦσα
καὶ νικῶσα πορφύραν βασιλικήν. ὢ σποδοῦ δύναμις, διαδήματος καὶ θρόνου βασιλικοῦ ἰσχυροτέρα. ἐν γὰρ τῷ διαδήματι τυγχάνοντος τοῦ βασιλέως, καὶ ἐν τῇ πορφύρᾳ καὶ * τὸν θρόνον, κατέχοντι αὐτῷ τὸ κράτος, * ed. τῷ θρόνῳ
τουτέστιν τὴν ῥάβδον τὴν βασιλικήν, κύκλῳ τῶν στρατοπέδων * αὐτοῦ περιισταμένων, καὶ δορυφορίας πολλῆς * ed. αὐτῷ περιεστώτων
* περιστοιχισαμένων, εἰσέρχεται εἰς τὸ μέσον ὁ προφήτης γυμνός, κεκονιαμένος ποσίν, ἱδρῶν τῷ προσώπῳ, καί * ed. περιστοιχουμένης
φησιν· ἔτι τρεῖς ἡμέραι, καὶ * νινευὶ καταστραφήσεται. τί ποιεῖς, ὦ προφῆτα; εἰ * πνεῦμα θεοῦ ἐν σοί, διὰ τί * ed. νινευὴ * ed. add. ὅλως
οὐ γινώσκεις τὸ βούλημα τοῦ θεοῦ; ὅτι οὐκ ἀποκτεῖναι βουλόμενος, * ἀλλ' εἰς μετάνοιαν ἐπανακαλέσασθαι, * ed. add. ὁ θεὸς
διὰ τοῦτο ἔδωκε τὴν ἀπόφασιν. οὐδέν μοι, φησίν, εἶπεν ὁ θεὸς ἕτερον, ἀλλ' ἢ τοῦτο μόνον εἶπεν, ὅτι ἔτι τρεῖς ἡμέραι, καὶ * νινευὶ καταστραφήσεται. τί * ed. νινευὴ * ed. ἤκουσεν
ποιεῖς, ὦ ἰωνᾶ; διὰ τί καὶ διδασκαλίαν ἑτέραν οὐ προστίθεις; τί γὰρ ἄλλο * ἢ ἡσαΐας εἰπεῖν πρὸς τὴν ἰσραὴλ ἡσαΐας παρὰ τοῦ θεοῦ εἰπεῖν

ἰσραήλ. οὐδὲν ἕτερον ἢ λόγον ἕ-
* ed. δὴ να. ποῖον * δὲ τοῦτον; Εἶπον, φη-
σί, τῷ λαῷ τούτῳ· ἀκοὴ * ἀ-
* ed. ἀκούσε-τε κούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ
βλέποντες βλέψετε, καὶ οὐ μὴ
* ed. βλέπε ἴδητε. καὶ * βλέπεις πόσην ἄλ-
λην διδασκαλίαν καὶ κατήχησιν
εἰς αὐτοὺς ἐνήχησεν; πόσην
προτροπὴν καὶ παράκλησιν καὶ
ἔλεγχον; ἔλεγχον μὲν ἐν τῷ λέ-
γειν αὐτόν· ἔγνω βοῦς τὸν κτησά-
μενον, καὶ ὄνος τὴν φάτνην τοῦ
κυρίου αὐτοῦ· ἰσραὴλ δέ με οὐκ
ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν.
ταῦτα ἐλέγχοντος ἦν. ἄκουσον δὲ
καὶ προτρεπομένου αὐτοῦ· λούσα-
* ed. θέλητε σθε, καθαροὶ γένεσθε, ἀφέλετε
τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑ-
* ed. εἰσα-κούσητε μῶν. πῶς δὲ πάλιν παρακαλεῖ·
ἐὰν * θέλετε, φησίν, καὶ * εἰσα-
* ed. add. καὶ κούσηθέ μου, τὰ ἀγαθὰ τῆς γῆς
φάγεσθε. καὶ ἕτερα δὲ τούτων πλείο-
* ed. add. ἐπάγει να προσδιαλέγεται αὐτοῖς, βι-
βλίον ὁλόκληρον γράψας μαρτυ-
* ed. add. τί ἐλά-λησεν ρίας χάριν. * οὐκ ἔστη μέχρι τού-
του, ἀλλὰ καὶ μάρτυρας ἐν ἀρχῇ
τῆς διδασκαλίας * λέγων· ἄκουε
* ed. add. ὦ οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος
* ed. add. φησιν ἐλάλησεν. * εἶπε σαφῶς * ἠσαΐα.
υἱοὺς * ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ

Iſraëlem. Nihil aliud quàm verbum vnum. Quodnam verò illud? *Dic*, inquit, Iſ. 6. 9. *populo huic: auditu audietis, & non intelligetis, & videntes videbitis, & non perſpicietis.* Et vides quàm diuerſam doctrinam & inſtitutionem in ipſos inſonuerit? Quantam exhortationem, & inuitatum, & reprehenſionem? Reprehenſionem quidem, dum ipſe dicit: *Cognouit bos* Iſ. 1. 3. *poſſeſſorem, & aſinus præſepe Domini ſui: Iſraël autem me non cognouit, & populus me non intellexit.* Hæc reprehendentis erant. Audi autem & exhortantem: *Lauamini, mundi eſtote,* Ib. 16. *auferte mala de animis veſtris.* Quo pacto autem rurſus inuitet audi: *Si volue-* Ib. 19. *ritis*, inquit, *& ſi audieritis me, bona terræ comedetis.* Et alia autem his plura ad illos diſſerit, libro integro teſtimonij gratiâ ſcripto. Neque ibi ſtetit, ſed & teſtes in principio doctrinæ inducit, dicens: *Audi cœ-* Ib. 2. *lum, & auribus percipe terra, quoniam Dominus locutus eſt.* Quid locutus eſt, dic apertè Eſaia? *Filios*, inquit, *genui & exaltaui, ipſi au-*

tem preuaricati sunt in me. Tu verò nihil horum fecisti, Iona; sed subuersionem quidem prædicasti dicens: *Adhuc tres dies, & Niniue subuertetur.* De Deo autem nihil ad illos locutus es, neque dixisti sicut Esaias: *Quoniam Dominus locutus est.* Sed immitem & inhumanam profers sententiam. Attamen Niniuitæ, etsi doctrinæ institutionem non acceperant, etsi Prophetarum auditores non fuerant, non Euangelicæ gratiæ promissiones susceperant, non regni amorem, non pœnæ metum; sed belluinis moribus erant præditi, atque indole barbara & inhumana: statim tamen ac audiunt sententiam, ad pœnitentiam vertuntur, confitentes quæ admiserant peccata; idque cùm nescirent an futurum esset vt ipsis dimitteretur. Quid enim, in-
Ion.3.9. quiebant, *Quis scit si conuertatur Deus, & pœniteat eum, & seruet nos?* Neque enim possunt ad alios qui pœnitentiam egerint & seruati sint respicere, non ad Niniuitas alios; sed adhuc de salute sua dubitant, & nihilominus pœnitentiam a-

δέ με ἠθέτησαν. σὺ δὲ οὐδὲν τούτων ἐποίησας ὦ ἰωνᾶ, ἀλλὰ τὴν μὲν καταστροφὴν ἐκήρυξας εἰπών· ἔτι τρεῖς ἡμέραι, καὶ νινευὶ καταστραφήσεται. περὶ δὲ θεοῦ οὐδὲν πρὸς αὐτοὺς εἶπες, οὐδὲ εἶπες, ὅτι κύριος ἐλάλησεν κατὰ τὸν ἠσαΐαν· ἀλλ' ἀνήμερον καὶ ἀπάνθρωπον ἐκφέρεις τὴν ἀπόφασιν. ἀλλ' ὅμως οἱ νινευῖται, εἰ καὶ διδασκαλίας κατήχησιν οὐκ ἐδέξαντο, εἰ καὶ προφητῶν κατήκοοι οὐκ ἐγένοντο, οὐκ εὐαγγελικῆς χάριτος * ἐπαγγελίας ἔλαβον, οὐ βασιλείας ἔρωτα, οὐ κολάσεως φόβον, ἀλλὰ κτηνώδη τρόπον ἔχοντες, καὶ βάρβαρον καὶ ἀπάνθρωπον * ἔχοντες ἦθος, ἀκούσαντες τὴν ἀπόφασιν, εὐθέως ἐπὶ μετάνοιαν τρέπονται, ἐξομολογούμενοι τὰ πεπραγμένα αὐτοῖς, καὶ ταῦτα μὴ * ἰδόντες εἰ ἀφεθήσεται αὐτοῖς. τί γὰρ, ἔλεγον, τίς οἶδεν, εἰ ἐπιστρέψει ὁ θεὸς καὶ μετανοήσει, καὶ σώσει ἡμᾶς; οὐ γὰρ ἴσασι πρὸς ἑτέρους μετανοήσαντας καὶ σωθέντας ἀποβλέψαι, οὐ πρὸς νινευΐτας ἑτέρους, ἀλλ' ἔτι περὶ τῆς σωτηρίας αὐτῶν ἀμφιβάλλουσιν, ὅμως με-

* ed. εὐαγγελίας
* d. in ed.
* ed. εἰδότες

τολμυσουσι. καὶ εὐθέως ὁ βασιλεὺς
διάδημα ῥίψας καὶ πορφύραν,
σάκκον καὶ σποδὸν *περιβάλλεται,
καὶ πᾶσα δὲ ἡ πόλις ἀπὸ μικροῦ ἕως
μεγάλου αὐτῶν, καὶ οὐ μόνον οἱ ἄν-
θρωποι, ἀλλὰ δὴ καὶ τὰ κτήνη καὶ οἱ
βόες καὶ τὰ πρόβατα. τί ποιεῖς ὦ
βασιλεῦ; ὅτι ἄνθρωποι ἥμαρτον,
τί δὲ καὶ τὰ κτήνη νηστεύειν κατεδί-
κασας; τί δὲ καὶ αὐτὰ σάκκον καὶ σπο-
δὸν περιβάλλεις; ἡμεῖς, φησὶν, πολ-
λαῖς περιπεπαρμένοι ἁμαρτίαις, *
οὐκ ἐσμὲν ἄξιοι παρακαλέσαι
θεόν. ποίῳ γὰρ προσώπῳ προσελ-
θόντες * ἀξιώσομεν θεῷ; διὰ τοῦτο
τὰ μὴ * ἡμαρτηκότα ὑπὲρ * ὑμῶν
πρεσβεύειν * ἐφείσαμεν. καὶ γὰρ καὶ
ἐπὶ * ἀνθρώπων τοῦτο * ἴδε τίς ἂν
* γινόμενον. ὅταν γάρ τις προσκε-
κρουκὼς * τινὶ τῶν ἐν ὑπεροχῇ ὄντων,
οἱ μὴ προσκεκρουκότες ὑπὲρ * αὐ-
τοῦ ἀξιοῦσιν, ὅπως συγχωρηθῇ
* αὐτοῦ τὸ πλημμέλημα. τοῦτο
καὶ ἡμεῖς * ποιοῦμεν. ἀναπολόγη-
τα ἡμάρτομεν, οὐκ ἐσμὲν ἄξιοι τοῦ
παρακαλέσαι περὶ * αὐτῶν, καὶ δυ-
σωπῆσαι θεόν· καὶ διὰ τοῦτο τὰ κτήνη
καὶ τοὺς βόας καὶ τὰ πρόβατα προς-
κυνεῖν καὶ λιτανεύειν * θεῷ * ἐφεί-
σαμεν. ὦ μετανοίας ἰσχύς. ὦ ἐξο-

gunt. Et statim Rex proiecto diademate ac purpurâ, saccum & cinerem induit; simúlque vniuersa ciuitas à paruo vsque ad magnum; & non modò homines, verùm etiam iumenta & boues & oues. Quid agis, ô Rex? Quia homines peccarunt, ideone etiam pecora ieiunio damnasti? Cur autem & illa sacco ac cinere induis? Nos, inquit, multis transfixi sumus peccatis, & non sumus digni qui deprecemur Deum. Quo enim ore adeuntes rogabimus Deum? Ideo ea quæ non peccauerunt, vt pro nobis instar legatorum intercederent immisimus. Etenim etiam in hominibus hoc fieri videat quispiam. Quando enim aliquis offenderit aliquem eorum qui in dignitate sunt, ij qui non offenderunt rogant pro illo, vt condonetur ei delictum. Hoc & nos facimus. Inexcusabilia peccata admisimus, non sumus digni qui pro nobis deprecemur, & pudore afficiamus Deum: ac propter id pecudes & boues & oues adorare & precari Deum coëgimus. O pœnitentiæ vis! O confes-

* ed. περιεβάλετο
* ed. add. καὶ
* ed. ἀξιώσωμεν θεόν
* ed. ἁμαρτήσαντα
* ed. ἡμῶν
* ed. ἐπείσαμεν
* ed. add. τῶν
* ed. ἴδοι
* ed. γινόμενον
* ed. add. ἢ
* ed. αὐτῶν
* ed. αὐτοῖς
* ed. ποιῶμεν
* ed. ἑαυτῶν
* ed. θεὸν
* ed. ἐπείσαμεν

ſionis virtus! Firmauit vrbem pœnitentia dum ſententiam Dei reſcidit. Verumtamen ad hæc Propheta ſaluti Niniuitarum diffidit: & profectus ex aduerſo ciuitatis, ſedebat ſpectans quid ciuitati eueniret: Vtrum ſententia vinceret, an verò pœnitentia. Et erant velut in ſtatera ac momento lancis poſita vtraque: hinc ſententia, & inde pœnitentia: & pœnitentia deuictâ morte vrbem erexit. Dein, vt ſermonem in compendium redigam, contriſtabatur Ionas, vt qui mendax apparíturus eſſet. Deinde quid facit ei ſapientiſſimus Deus? Præcipit ſoli, ardentes igne radios in ipſius caput iaculari, vt non poſſet ſuſtinere ſolis ardorem. Cùm autem arderet Ionas, & admodum impatienter ferret, per noctem præcipit Deus cucurbitæ, vt mane aſcenderet, & vmbraret ſuper caput Ionæ. Hîc libenter interrogarem Iudæum, dicerémque ad illum: oro te, Iudæe, qui ais; quomodo ſine viro virgo peperit, & quomodo quæ peperit, virgo adhuc manſit? Dic mihi tu primùm, quo-

μολογήσεως δύναμις. ἐστήριξε τὴν
πόλιν ἡ μετάνοια, λύσασα τὴν ἀ-
πόφασιν*. ἀλλ' ὅμως πρὸς τούτοις *ed.
ὁ προφήτης ἐπὶ* τὴν νινευιτῶν add. τοῦ θεοῦ
*σωτηρίαν ἀπιστεῖ· καὶ πορευθεὶς *ed.
ἀπέναντι τῆς* ἐκαθέζετο* σκοπῶν τῇ τῆς *ed.
*ὅ τι ἀποβήσεται τῇ πόλει· πότε- σωτηρία
ρον ἡ ἀπόφασις νικήσει, *ἢ ἄρα *ed. add.
*μετάνοια. καὶ ἦν ὡς ἐν ζυγῷ καὶ πόλεως
ὡς ἐν ῥοπῇ πλάστιγγος κείμενα τὰ *ed.
ἀμφότερα· ἔνθεν ἡ ἀπόφασις, ἐκάθη-το
κἀκεῖθεν ἡ μετάνοια. καὶ ἡ μετά- *in
νοια νικήσασα τὸν θάνατον, τὴν πόλιν ed. d. τὸ
ἀνέστησεν. εἶτα, ἵνα ἐπιτέμω τὸν *ed.
λόγον, ἐλυπεῖτο ἰωνᾶς ὡς ψεύστης ἦν
μέλλων φαίνεσθαι. *εἶτα τί* ποιεῖ *ed. add.
αὐτῷ ὁ πάνσοφος θεός; κελεύει τῷ ἡ
ἡλίῳ *πυριφλόγους ἀκτῖνας ἐπὶ *in ed.
τῆς κεφαλῆς αὐτοῦ βαλεῖν, πρὸς τὸ deest
μὴ φέρειν αὐτὸν τὴν τοῦ ἡλίου θερμό- *ed. add.
τητα. φλεγομένου δὲ αὐτοῦ ἐπὶ πο- οὖν
λὺ καὶ ἀποδυσπετοῦντος, διὰ τῆς *ed.
νυκτὸς κελεύει ὁ θεὸς κολοκύντῃ πυρφό-ρους
ἑωθινῇ ἀναβῆναι καὶ σκιάζειν ἐπὶ τῆς
κεφαλῆς ἰωνᾶ. ἐνταῦθα ἡδέως
ἐρόμην τὸν ἰουδαῖον, λέγων πρὸς
αὐτόν· εἰπέ μοι ὦ ἰουδαῖε, ὁ λέγων,
*ἄνευ ἀνδρὸς ἡ παρθένος ἐγέννησε, *ed.
καὶ πῶς γεννήσασα, πάλιν παρθένος add. πῶς
ἔμεινεν. εἰπέ μοι σὺ πρῶτον· πῶς

ἡ γῆ ἐν μιᾷ ὥρᾳ τῆς ἑωθινῆς τὴν κο-
* ed. ἐξέφυσε λόκυντην ἀφ' ἑαυτῆς * ἐξέβα-
λεν, καὶ πῶς ἐν μιᾷ ῥοπῇ τοῖς φύλ-
λοις ἐκόμα, καὶ τὸν προφήτην ἐ-
σκίαζεν· κἀγώ σοι λέγω πῶς ἡ
παρθένος ἔτεκεν, καὶ μετὰ τὸ γεννῆσαι
* ed. πάλιν διέμ. παρθένος * ἔμεινεν. ἀλλὰ μὴ * βάλ-
λωμεν τὰ ἅγια τοῖς κυσίν. ἐκ-
* ed. βάλωμαι βαλλέσθωσαν τοῦ ἡμετέρου κατα-
λόγου οἱ ἄπιστοι ἰουδαῖοι. Εἶτα τῆς
κολοκύντης σκιαζούσης αὐτὸν, ἐκέ-
λευσεν πάλιν ὁ θεὸς σκώληκι
ἑωθινῇ, καὶ ἐπάταξεν τὴν κολόκυν-
την, καὶ εὐθέως ἐξηράνθη. ἴδε ἰου-
δαῖε, καὶ μὴ ἀπιστῇ, ὅταν θεὸς μέ-
γιστόν τι κατεργάζεται. ὑπὸ νύκτα
ἐγένετο, καὶ ὑπὸ νύκτα ἀπώλετο.
Εἶτα ξηρανθείσης τῆς κολοκύν-
* ed. προφήτης της, ἀπεδυσπέτει ὁ * ἰωνᾶς καὶ
ἀπωδύρετο, καὶ ἀπελέγετο τὸ
πνεῦμα αὐτοῦ, λυπούμενος ἐπὶ
τῇ κολοκύντῃ, καὶ ἔλεγε· καλόν
μοι τὸ ἀποθανεῖν μᾶλλον ἢ ζῆν.
* d. in ed. πρὸς ὃν * πορευθεὶς ὁ πάνσοφος
θεὸς παραμυθεῖται λέγων· σφό-
* ed. σαι δρα λελύπησαι * σὺ ἐπὶ τῇ κολο-
κύντῃ; καὶ εἶπεν ὁ ἰωνᾶς· σφό-
δρα λελύπημαι ἐγὼ ἕως θανά-
του. πάλιν δὲ πρὸς αὐτὸν ὁ θεός· σὺ
ἐλυπήθης ἐπὶ τῇ κολοκύντῃ, εἰς

modo terra in vna hora ma-
tutini, cucurbitam ex ſe e-
miſit, & quomodo in vno
momento foliis comata fuit,
& Prophetam obumbrauit:
& ego tibi dicam quo pa-
cto virgo peperit, & poſt
partum virgo permanſit.
Verùm ne proiiciamus ſan-
cta canibus. Eiiciantur è
noſtro catalogo increduli
Iudæi. Poſtea cucurbitâ ob-
umbrante ipſum, *Iuſſit* Ion. 4.
iterum Deus vermi in ma- 7.
tutino; & percuſſit cucurbi-
tam, & illicò exaruit. Vi-
de, Iudæe, & ne ſis incre-
dulus, cùm Deus maximum
aliquid operatur. Per no-
ctem producta eſt cucurbi-
ta, & per noctem periit.
Deinde arefactâ cucurbitâ,
indignabatur Ionas & de-
flebat, & ſuccumbebat ſpi-
ritus eius dum contriſtare-
tur de cucurbita; & dice-
bat: *Melius eſt mihi mori* Ion. 4.
quàm viuere. Ad quem pro- 8.
fectus qui omni ſapientia or-
natus eſt Deus, conſolatur
eum dicens: *Valde contri-* Ib. 9.
ſtatus es tu de cucurbita? Et
reſpondit Ionas: *Valde con-*
triſtatus ſum ego vſque ad
mortem. Rurſus autem ad
ipſum Deus ait: *Tu contri-* Ib. 10.
ſtatus es de cucurbita, in

quam non laborasti, quam non enutriisti, quæ nata est sub noctem, & sub noctem periit: ego verò non contristabor de Niniue ciuitate magna, in qua habitant plusquam centum viginti millia virorum, qui non norunt præ multitudine habitantium *dextram vel sinistram; & pecora multa.* Quod autem dicit, tale est: benignus, inquit, ego sum, & qui nolim perdere manuum mearum opera, quæ amore adductus creaui: ideo minatus sum subuersionem ac mortem, non quòd occidere vellem, sed vt ad pœnitentiam cohortarer. Qui tot annorum curriculis expectaueram eorum conuersionem, deinde vbi conuersi sunt, an negligere debebam? Non id meum est,
Os. 11. 9. Iona. Tu enim vt homo condemnare vis: ego verò quatenus Deus id habeo, vt clemens ac humanus sim. Tibi gloria, Domine; tibi gloria. Quantæ sunt apud te benignitatis ac misericordiæ opes! Qui nuper letali subiacebant calculo, nunc magistri orbis terrarum constituti sunt. Omnes quippe dum in ipsos aspi-

ἣν οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξέθρεψας αὐτήν, ἣ ἐγεννήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο· ἐγὼ δὲ οὐ λυπηθήσομαι ἐπὶ Νινευῒ τῇ πόλει τῇ μεγάλῃ, ἐν ᾗ κατοικοῦσιν πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν ἀπὸ τοῦ πλήθους τῶν οἰκούντων δεξιὰν ἢ ἀριστεράν, καὶ κτήνη πολλά. ὃ δὲ *τοιοῦτόν ἐστι· φιλάνθρωπος, φησίν, ἐγὼ τυγχάνω, καὶ μὴ βουλόμενος ἀπολέσαι τὰ ἔργα τῶν χειρῶν μου, *ἃ ἀγαπῶν ἐποίησα. διὰ τοῦτο ἠπείλησα καταστροφὴν καὶ θάνατον; οὐχ ὡς ἀποκτεῖναι βουλόμενος, ἀλλ' εἰς μετάνοιαν προτρέψασθαι. *τοσούτους περιόδους ἐτῶν ἐκδεχόμενος τὴν τούτων ἐπιστροφήν, ἡνίκα δ' ἂν ἐπεστράφησαν, περιιδεῖν ὤφειλον; οὐκ ἔστι παρ' ἐμοὶ τοῦτο ὦ Ἰωνᾶ. σὺ *γὰρ ὡς ἄνθρωπος καταδικάζειν βούλει, ἐγὼ δὲ ὡς θεὸς τὸ φιλανθρωπεύσασθαι ἔχω. δόξα σοι, κύριε, δόξα σοι. πόσος φιλανθρωπίας καὶ ἐλεημοσύνης πλοῦτος παρὰ σοί. οἱ πρῴην θανασίμῳ ὑποβληθέντες ψήφῳ, νῦν διδάσκαλοι τῆς οἰκουμένης καθεστήκασι. πάντες γὰρ εἰς αὐτοὺς ἀποβλέποντ-

* f. ἐξ add. τες, χειραγωγούμεθα, * τῶν ἐκεί-
νων λαμβάνοντες μετάνοιαν,
ἀναυάγητοι διαμένομεν. θεωρεῖς
ἀγαπητὲ, πόσον ἰσχύει μετάνοια;
μὴ οὖν ὑπερτιθέμεθα ἡμέραν ἐξ
ἡμέρας. οὐ γὰρ οἶδας τί τέξεται
* ed. add. ἡ * ἐπιοῦσα. ἡμέρα γὰρ κυρίου ὡς
κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται.
δεῦτε οὖν, ἀγαλλιασώμεθα τῷ
κυρίῳ, ἀλαλάξωμεν τῷ θεῷ τῷ
σωτῆρι ἡμῶν. προφθάσωμεν τὸ
* ed. ἐξομολογ. πρόσωπον αὐτοῦ ἐν * ὁμολογήσει.
ἄδηλος γάρ ἐστιν ἡ ἔκβασις τοῦ
βίου ἡμῶν, οὐ καιρὸν ἐκδεχομένη,
οὐ χρόνον τεταγμένη ἐφ᾽ ἡμῶν.
ἀλλ᾽ ἡνίκα δ᾽ ἂν κελεύσῃ ὁ δεδω-
κὼς πᾶσι πνοὴν, τότε ἡ ψυχὴ ἀ-
ποπτᾶσα ἀπὸ τοῦ σώματος, κατα-
λιμπάνει αὐτὸ ἔρημον. ἕκαστος τοί-
νυν εἰδὼς τὸ τῆς ἐξόδου ἄδηλον, περι-
μένωμεν τὸν νυμφίον, καὶ κρούσαν-
τος αὐτοῦ τῇ θύρᾳ, ἀνάψωμεν αὐ-
τῷ τὰς λαμπάδας ἡμῶν διὰ
παντὸς αὐξανομένας, ἔχοντες καὶ ἔλαιον
μεθ᾽ ἑαυτῶν, ἵνα ἡνίκα δ᾽ ἂν ἦχος
γένηται λεγόντων, ὅτι ὁ νυμφίος ἔρ-
χεται, συνεισέλθωμεν αὐτῷ, μήποτε
καὶ ἡμεῖς μετὰ τῶν πέντε μωρῶν παρ-
θένων ἔξω τοῦ νυμφῶνος εὑρεθῶ-
μεν. μὴ ἀπονυστάξωμεν ἀγαπη-

ciunt, manu ducuntur; & dum illorum assumimus pœnitentiam, expertes naufragij permanemus. Cernis, dilecte, quantum possit pœnitentia? Ne igitur differamus diem de die. *Nescis enim quid crastina dies paritura sit.* Nam *dies Domini quasi fur in nocte, ita venit.* *Venite* igitur, *exultemus Domino: iubilemus Deo salutari nostro. Præoccupemus faciem eius in confessione.* Incertus namque est exitus vitæ nostræ, non occasionem exspectat, nec tempore definitus est in nobis: sed quandocumque iusserit is qui omnibus spiritum dedit, tunc anima à corpore auolans, derelinquit illud orbum ac vacuum. Cùm igitur singuli sciamus mortem esse incertam, exspectemus sponsum; & cùm pulsauerit ianuam, accendamus illi lampades nostras semper paratas; habentes & oleum nobiscum, vt cùm factus fuerit sonus dicentium, *Sponsus venit;* intremus cum eo, ne fortè nos quoque cum quinque fatuis virginibus extra conclaue sponsi inueniamur. Carissimi, ne dormitemus, sed habeamus

Prou. 27.1. 1.Thess. 5.2.

Matth. 25.6.

ſemper oleum in lampadibus noſtris. Non enim concedet nobis in illa hora, vt oleum à vendentibus empturi, abeamus. Scilicet hîc emitur, & illic conſumitur. Quinam autem ſunt illi qui vendunt, niſi pauperes? Da panem, & accipis *Quæ oculus non vidit, & auris non audiuit, & in cor hominis non aſcenderunt, quæ præparauit Deus diligentibus ſe.* *Venite* igitur, *exultemus Domino: iubilemus Deo ſalutari noſtro. Præoccupemus faciem eius in confeſſione.* Quia nox proceſſit, dies verò incertæ vitæ appropinquauit. Vtinam autem omnes nos lumen de lumine exiſtentes, in luce gloriæ Chriſti ſeruatoris noſtri ambulemus, in ipſo Domino noſtro, cui gloria in ſæcula ſæculorum. Amen.

1. Cor. 2. 9.

τοὶ, ἀλλ' ἔχωμεν ἀεὶ ἔλαιον ἐν ταῖς λαμπάσιν ἡμῶν. οὐ γὰρ συγχωρήσει ἡμῖν ἐν ἐκείνῃ τῇ * ὥρᾳ ἀπελθοῦσιν ἔλαιον ἀγοράσαι παρὰ τῶν πωλούντων· ἐνταῦθα γὰρ πωλεῖται, * καὶ ἐκεῖ ἀναλίσκεται. τίνες δὲ οἱ πωλοῦντες, ἀλλ' ἢ οἱ πένητες; δὸς ἄρτον, καὶ λαμβάνεις ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. δεῦτε τοίνυν, ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ θεῷ τῷ σωτηρίῳ ἡμῶν. προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ὅτι * νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα τοῦ ἀδήλου βίου ἤγγικεν. εἴη δὲ πάντας ἡμᾶς φῶς ἐκ φωτὸς ὑπάρχοντας * τῷ φωτὶ τῆς δόξης χριστοῦ τοῦ σωτῆρος ἡμῶν περιπατῆσαι, ἐν αὐτῷ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* ed. ἡμέρᾳ

* ed. κἀκεῖ

* ed. add. ἡ

* ed. add. ἐν



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν ἰωάννου ἀρχιεπισκόπου κωνσταντινουπόλεως τοῦ χρυσοστόμου ἑρμηνεία εἰς τὸν δανιὴλ προφήτην.

SANCTI PATRIS NOSTRI IOHANNIS Chryſoſtomi Archiep. Conſtantinopoleos in Danielem Prophetam Interpretatio.

ΚΕΦΑΛΑΙΟΝ Α.

ΚΑΙ εἶπεν ὁ βασιλεὺς ἀσφανὲς τῷ ἀρχιευνούχῳ αὐτοῦ εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῶν υἱῶν ἰσραὴλ, καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας, καὶ ἀπὸ τῶν φορθονμίν. φορθονμὶν ἢ ἔθνος φησὶ, ἢ γένος· μᾶλλον δὲ ἔθνος, βάρβαρον ἴσως. συγχωρεῖται δὲ τοῦτο, ἵνα ἀπὸ συγκρίσεως ἡ τοῦ θεοῦ φανῇ δύναμις· καὶ ὅπερ ἐπὶ τῶν πολλῶν ἐγένετο, καὶ ἐπὶ τῆς σοφίας, ἵνα γὰρ μή τις τὴν περσικὴν σοφίαν αἰτιᾶται τῶν γινομένων, καὶ ἄλλοι

CAPVT I.

v. 3. *ET dixit Rex Aſphanezi principi eunuchorum ſuorum, vt introduceret de filiis captiuitatis filiorum Iſraël, & de ſemine regni, & de Phortommin.* Phortommin aut gentem dicit, aut genus: imò potiùs gentem, eámque fortaſſe barbaram. Id autem permittitur, vt ex comparatione poteſtas Dei appareat; & vt quod in vulgo factum erat, etiam in ſapientia eueniat. Nam ne quis Perſicam ſapientiam cauſam putaret eorum quæ contingebant, alij quoque vnà

cum ipsis edocentur, vt scilicet id confutetur. Ex comparatione enim, maximè apud excordes iudicantur res. Ideo Deus vbique arguit à comparatione; & cùm de seipso loquitur, non dedignatur se cum Diis comparare ac conferre. Atque
Ps. 85. 8. ipsi dicunt: *Non est similis tui in Diis, Domine.* 4. *In quibus nulla esset macula, & pulcros aspectu, & intelligentes in omni sapientia.* Pulcritudo quoque impedimentum est ad castitatem, & ad sapientiæ studium. Qua verò de causa tales etiam requirit, qui & membrorum bona habitudine & aspectus pulcritudine ceteros omnes excellant? Attendamus. Si Rex tales quærit, atque Rex barbarus; quantò magis Deus, qui decoris in animo consistentis amator est? Si Regi adstare non mereantur ij qui maculam habent in corpore: ait enim; *In quibus nulla esset macula:* multò magis non decet Deo assistere eos quibus maculosus est animus. Meritò autem & robustos requirit; ad domestica scilicet ministeria: aut robur etiam animi si-

μανθάνουσι μετ' αὐτῶν εἰς
ἔλεγχον. ἀπὸ γὰρ συγκρίσεως
μάλιστα παρὰ τοῖς ἀνοήτοις τὰ
πράγματα κρίνεται· διὸ ἀπὸ
συγκρίσεως πανταχοῦ ποιεῖ ὁ
θεός· καὶ ὅταν περὶ ἑαυτοῦ λέγῃ,
οὐκ ἀπαξιοῖ τοῖς θεοῖς ἑαυτὸν
παραβάλλειν, καὶ συγκρίνειν·
καὶ αὐτοὶ λέγουσιν· οὐκ ἔστιν ὅ-
μοιός σοι ἐν θεοῖς κύριε. ἐν οἷς οὐκ
ἔστιν ἐν αὐτοῖς μῶμος, καὶ καλοὺς τῇ
ὄψει, καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ.
καὶ τοῦτο κώλυμα πρὸς σωφρο-
σύνην καὶ φιλοσοφίαν. τίνος δὲ
ἕνεκεν καὶ τοιούτους ζητεῖ, ὥστε
καὶ τῇ τῶν μελῶν εὐεξίᾳ, καὶ τῇ
τῆς ὄψεως εὐμορφίᾳ πάντας τοὺς
ἄλλους νικᾶν; ἀκούσωμεν. εἰ βα-
σιλεὺς τοιούτους ζητεῖ, βασιλεὺς
βάρβαρος, πόσῳ μᾶλλον ὁ θεὸς
ὁ τοῦ ψυχικοῦ κάλλους ἐραστής;
εἰ παρεστάναι ἐκείνῳ οὐκ ἂν
εἶεν ἄξιοι οἱ μῶμον ἔχοντες
ἐν σώματι, ἐν οἷς γάρ, φησίν,
οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, πολ-
λῷ μᾶλλον τῷ θεῷ οὐ προσήκει
παρεστάναι τοὺς μῶμον ἔχοντας ἐν
τῇ ψυχῇ. εἰκότως δὲ καὶ ἰσχυροὺς
ζητεῖ, πρὸς τὰς ἔνδον διακονίας
φησί, ἢ ἰσχὺν καὶ τὴν τῆς ψυχῆς

λέγει, τουτέστι δυναμένους ἑστάναι ἐνώπιον τοῦ βασιλέως. καλοὺς δὲ τὴν ὄψιν, τίνος ἕνεκεν ἐπιζητεῖ; ἐκεῖνα μὲν γὰρ πρὸς χρείαν, ἡ σοφία λέγω, καὶ ἡ σύνεσις τῆς διανοίας· τοῦτο δὲ τίνος ἕνεκεν; ἅτε ὡς βάρβαρος, καὶ βιωτικὸς ἀνὴρ ἀπὸ φιλοτιμίας πολλῆς τοῦτο ἐπιζητεῖ· τὸν γὰρ φιλόσοφον τὰ ἀπὸ ψυχῆς ἐπιζητεῖν χρὴ μόνον. ὥσπερ γὰρ ἱμάτια ζητοῦμεν καλὰ πρὸς οὐδεμίαν χρείαν, οὕτω καὶ ὄψεις ἐπιζητεῖ καλὰς ὥσπερ ἀγάλματα. ὁ δὲ θεὸς τίνος ἕνεκεν κάλλος ἐποίησεν; ἄκουσον ἑτέρου λέγοντος· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. καὶ πολλὰ ἴδοι τις ἂν οὐχὶ πρὸς χρείαν μόνον, ἀλλὰ καὶ πρὸς ὥραν ἡμῖν ἐν τῷ σώματι γεγενημένα. τὰ γὰρ χρώματα, καὶ αἱ εὐχροιαι τούτου χάριν, οὐ χρείας μόνης. δυνατὸν γὰρ ἦ καὶ μέλανας εἶναι, καὶ μηδὲν εἰς τὴν χρείαν παραβλέπεσθαι. καὶ τρίχες δὲ ἡμῖν διὰ τοῦτο. οὕτω καὶ παῦλός φησι· ἀνὴρ μὲν γὰρ ἐὰν κομᾷ, ἀτι-

gnificat. Hoc est qui valeant stare coram Rege. Pulcros verò aspectu cur expetit? Illa enim vsui sunt; sapientia nimirum & mentis perspicacitas: at venustas cui bono? Videlicet vt barbarus & vt vir seculo deditus, hanc ex immensa honorum cupidine exquirit. Nam Philosophum bona animi tantùm desiderare oportet. Sed quemadmodum decoras vestes cupimus, non ad vsum tamen; ita iste decoras facies, velut statuas flagitat. At Deus quam ob causam pulcritudinem fecit? Audi alium Prophetam, qui dicit: *A magnitudine enim & specie creaturarum creator per proportionem videtur.* [Sap. 13. 15.] Multa etiam quis videat non modò ad vsum, sed & ad decorem corpori nostro indita esse. Colores namque ac coloris pulcritudo eius rei gratia, non autem ob vsum dumtaxat existunt. Fieri siquidem potest vt homo niger sit, nec inde vllatenus lædatur in iis quæ ad vsum spectant. Habemus verò & capillos eadem de caussa, sicut Paulus ait: *Vir quidem si comam nutriat, igno-* [1. Cor. 11.14.]

minia est illi : Ceruix quoque erecta, quæque congruum habet interstitium; denique reliqua ob eundem decorem nobis sunt concessa, adeò vt si minimum quid à toto detraxeris, pulcritudinem euertas, manente tamen vsu. Vnde præcipuè ad speciem nobis opifex, hoc animal condidit: nec tantùm hoc, sed & reliqua omnia. Verùm pulcritudinis huius aliis quidem plus, aliis verò minus largitus est. Complures autem post natiuitatem, quâ carebant venustate induit. Porro ex ipso situ quoque decorem perspicies; quemadmodum in oculis, quod in sublimi loco instar Iridis positi sint, quòd intus tornatam rotunditatem, colorum mixturam, accuratam formam, germanitatem, ingenuitatem & candorem habeant. Sed, inquiet aliquis, pulcritudo offendiculum fuit. Non propter pulcritudinis naturam id contigit: sed per ignauiam eorum qui illâ capiuntur. Dicit enim Scriptura:
Eccl. 41. 27. *Ne respicias pulcritudinem alienam.* Non dixit absolutè; ne respicias pulcritu-

μία αὐτῷ ἐστιν· καὶ αὐχὴν δὲ ὄρθιος, καὶ σύμμετρον ἔχων διάστημα, καὶ εἰς τοῦτο εὐπρεπείας ἅπαντα ἡμῖν ἐξενήνεκται, ὡς ἂν μικρὸν ἐκκόψῃς τῷ παντὶ, λυμήνασθαι κάλλει, τῆς χρείας μενούσης. ὅθεν δὲ μάλιστα καὶ πρὸς κάλλος ὁ δημιουργὸς ἡμῖν τὸ ζῶον κατεσκεύασε τοῦτο, καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα. ἀλλὰ τοῦ κάλλους τούτου τοῖς μὲν πλέον, τοῖς δὲ ἔλαττον ἔδωκεν. πολλοὺς δὲ μετὰ τὸ γενέσθαι, οὐκ ἔχοντας οἴκοθεν, χάριν ἐνέδυσεν. καὶ ἀπὸ τῆς θέσεως δὲ αὐτῆς ὄψει τὸ κάλλος, οἷον τὸ ἐν ὑψηλῷ κεῖσθαι τοὺς ὀφθαλμοὺς καθάπερ τὴν ἶριν, καὶ ἔχειν ἔνδον τὸ στρόγγυλον ἀποτετορνευμένον, τὴν μίξιν τῶν χρωμάτων, τὴν ἀκρίβειαν, τὴν γνησιότητα, τὸ λευκὸν εἶναι. ἀλλὰ πρόσκομμα γέγονε τὸ κάλλος, φησί. οὐχὶ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ῥαθυμίαν τῶν ἁλισκομένων. μὴ καταμάνθανε γὰρ, φησὶ, κάλλος ἀλλότριον. οὐχ ἁπλῶς εἶπε, μὴ καταμάνθανε κάλ-

λος, ἀλλὰ προσέθηκεν, ἀλλό-
τριον, ὡς τό γε οἰκείου ἀπο-
λαύειν αὐτῆς. διὰ τί γὰρ οὐκ ἐξε-
τραχήλισε τὸν ἰωσήφ, οὐδὲ βλᾶκα
εἰργάσατο, οὐδὲ ἐνέπλησεν ἀ-
πονοίας καὶ τύφου. ἔλαφος, φησί,
φιλίας, καὶ πῶλος σῶν χαρίτων
ὁμιλείτω σοι. σύνδεσμός ἐστι καὶ
τοῦτο τοῦ γάμου, ὥστε πρὸς τὰ σώ-
ματα ἐπτόηντο οἱ ἄνθρωποι. ἐ-
πειδὴ γὰρ ἐπίπονόν τινα καὶ μο-
χθηρὸν ἡμῖν κατεσκεύασε τὸν βίον,
ἐχαρίσατό τινα καὶ παραμυθίαν.
ἐντεῦθεν ἡμῖν ἀγάπης ἐστὶν ὑ-
πέκκαυμα τῆς τὰ πάντα συνε-
χούσης. πολλὰ γὰρ ἐσπούδασεν
ὁ θεὸς καὶ ἐπραγματεύσατο ὥς-
τε τὸν τοῦ γάμου σύνδεσμον ἀρ-
ῥαγῆ μένειν. καὶ μὴν τοῦτό φησι γέ-
γονε πρόσκομμα παρὰ τὴν ἀρ-
χήν. ἰδόντες γὰρ οἱ υἱοὶ τοῦ θεοῦ τὰς
θυγατέρας τῶν ἑβραίων, ὅτι κα-
λαί εἰσιν, ἔλαβον ἑαυτοῖς. οὐχὶ
τοῦτο γέγονε πρόσκομμα, ἀλλ' ἡ
ἀκρασία ἐκείνων. καλὰς αὐτὰς
ἐποίησεν, οὐχ ἵνα ἀναιδεῖς αἱ θυ-
γατέρες γένωνται, ἀλλ' ἵνα ἕκαστος
στέργῃ τὴν ἑαυτοῦ. καὶ συνιέντας, φη-
σίν, ἐν πάσῃ σοφίᾳ· τουτέστιν
σπουδαίους, δεκτικοὺς πρὸς πᾶ-

dinem : ſed addidit, alie-
nam. Quare laudat eos qui
propria fruuntur venuſtate.
Cur enim decor Ioſephum
non peſſumdedit, nec igna-
uum effecit, nec repleuit
inſania & faſtu. *Cerua*, in- Prou. 5.
quit, *amicitiæ & pullus gra-* 19.
tiarum tuarum verſetur te-
cum. Pulcritudo etiam vin-
culum eſt nuptiarum, quò
ſcilicet homines impotenti
corporum deſiderio flagra-
rent. Nam cùm Deus no-
bis vitam laborioſam ac
miſeram adornaſſet, ſola-
tium quoque aliquod do-
nauit. Hinc nobis fomes di-
lectionis illius quæ omnia
complectitur. Multa quip-
pe cura prouidit Deus ac
effecit, vt nuptiarum vin-
culum firmum ac infractum
maneret. At, inquiet idem,
pulcritudo offenſioni ab ini-
tio fuit. *Videntes enim filij* Gen. 6.
Dei filias hominum, quòd 2.
eſſent pulcræ; acceperunt ſi-
bi. Offendiculum non fuit
ſpecies, ſed illorum incon-
tinentia. Filias enim non i-
deo Deus ſpecioſas fecerat,
vt impudentes fierent, ſed
vt vnuſquiſque ſuam ada-
maret. *Et intelligentes*, in-
quit, *in omni ſapientia.* Id
eſt ſtudioſos & omnis ſa-

pientiæ capaces. *Vt doceret eos litteras & linguam Chaldæorum.* Moyses quidem cùm esset vnus è vulgo, vt rex enutritus est: hi verò cùm ex stirpe regia orti essent, inter seruos heriles educabantur. Pulcrè prouisum est, vt illi discerent litteras & linguam Chaldæorum. Ne scilicet quando Daniel de magnis illis rebus cum Rege locuturus esset, aliquis interueniens, nonnihil eorum quæ dicerentur deprauaret. Quanam autem de caussa adhuc id fit? Vt intelligas illius philosophiam, & statim à principio videas quo pacto ventre potior sit. Alius quippe dixisset: captiuus sum; nullo alio ex loco necessaria ad victum mihi suppeditantur; omnino ignoscet Deus. At non ita iste: non enim mercedis alicuius gratiâ, aut ex timore tantùm, sed etiam ex caritate Deo seruiebat. Multâ curâ educatus est, nec breue tempus in studia insumpsit. Tres annos philosophabantur, & tres annos ieiunabant. Vides prudentiam? Vbi cautione opus est, valde exactus est, prouidus ac cir-

σαν σοφίαν. τοῦ διδάξαι αὐτοὺς γράμματα καὶ γλῶσσαν χαλδαίων. ὁ μὲν οὖν μωυσῆς ἰδιώτης ὤν, ὡς βασιλεὺς ἐτράφη· οὗτοι δὲ ἐκ γένους ὄντες βασιλικοῦ, ἐν τάξει δούλων δεσποτικῶν ἀνετρέφοντο. καλῶς περιοικονομεῖται αὐτοὺς μαθεῖν γράμματα καὶ γλῶσσαν χαλδαίων, ἵν' ὅταν μέλλῃ τῷ βασιλεῖ διαλέγεσθαι δανιὴλ περὶ τῶν μεγάλων ἐκείνων, μηδεὶς μεταξὺ παρεμπεσὼν κακουργῇ τι τῶν λεγομένων. τίνος δὲ ἕνεκεν καὶ τοῦτο γίνεται; ἵνα μάθῃς αὐτοῦ τὴν φιλοσοφίαν, καὶ ἴδῃς εὐθέως ἐξ ἀρχῆς πῶς κρείττων ἐστὶ γαστρός. καὶ μὴν ἕτερος εἶπεν ἄν, αἰχμάλωτός εἰμι, οὐδαμόθεν ἔχω τὴν ἀναγκαίαν τροφήν, συγγνώσεται πάντως ὁ θεός· ἀλλ' οὐχ οὕτως οὗτος· οὐ γὰρ μισθῷ τινὶ καὶ φόβῳ μόνον, ἀλλὰ καὶ ἀγάπῃ ἐδούλευε τῷ θεῷ. πολλῆς ἀπολαύων ἐπιμελείας, καὶ ὁ χρόνος οὐ βραχύς· ἔτη τρία ἐφιλοσόφουν, τὰ τρία ἔτη ἐνήστευον. ὁρᾷς σύνεσιν; ἔνθα μὲν ἐχρῆν φυλάξασθαι· σφόδρα ἀκριβὴς, καὶ

περινοητικός, καὶ οὐχ ἁπλῶς
ἐπιῤῥίπτων ἑαυτὸν, ἀλλ' ἱκε-
τεύων, καὶ δεόμενος. ἔνθα δὲ οὐ-
δὲν ἔβλαπτεν· οὐ παρῃτήσατο,
μαθεῖν γλῶτταν βαρβαρικὴν,
καὶ σοφίαν τοιαύτην. οὐ γὰρ δὴ τὸ
μαθεῖν ἔγκλημα ἦν, ἀλλὰ τὸ
χρήσασθαι. οὕτω μάλιστα ἔμα-
θεν αὖ τὴν σοφίαν τὴν παρ' ἑαυ-
τοῦ· ἀπὸ συγκρίσεως πάλιν, ἵνα
μάθῃ ὅτι οὐκ ἔστι σοφία ἑτέρα
οἷα ἡ ἑβραίων, ἵνα ἰσχυρότερος
εἴη. εἰ μὴν εἰ δὲ παράνομον
ἦν, καὶ ἐνταῦθα ἔστη ἂν καὶ ἠ-
γωνίσατο. εἶδες ὅτι τούτου αἱ
ἀρεταὶ, ὅθεν οἱ γαστρίμαργοι;
ὅθεν οἱ σκόρδα προτιμῶντες
τοῦ μάννα· ἐντεῦθεν ὁ δα-
νιὴλ ὢν φιλόσοφος ἐφάνη.
καὶ ἐγένοντο ἐν αὐτοῖς ἐκ τῶν
υἱῶν ἰούδα, δανιὴλ, καὶ ἀ-
νανίας, καὶ ἀζαρίας, καὶ μι-
σαήλ· καὶ ἐπέθηκεν αὐτοῖς ὁ
ἀρχιευνοῦχος ὀνόματα, τῷ
μὲν δανιὴλ βαλτάσαρ, καὶ
τῷ ἀνανίᾳ σεδράχ, καὶ τῷ
* ἀβδε- ἀζαρίᾳ * ἀβδεναγὼν, καὶ τῷ
ναγὼ μισαὴλ μισάχ. τῷ δανιὴλ, φη-
σὶ, βαλτάσαρ ἐπέθηκεν ὄνομα. καὶ
ὁ θεὸς αὐτῶν οὕτως ἐλέγετο, μᾶλ-

cumſpectus; nec temerè ſei-
pſum coniicit, ſed suppli-
cat ac precatur: vbi verò
nullum detrimentum eſt,
linguam barbaram & eiuſ-
modi ſapientiam diſcere
non renuit. Non enim cri-
men erat hanc diſcere, ve-
rùm eâ vti. Sic præci-
puè intelligebat ſapientiam
ſuam: atque iterum ex
comparatione; vt diſceret
nullam eſſe ſapientiam He-
braïcæ ſimilem, vtque for-
tior euaderet. Quòd ſi id
fuiſſet iniquum; ibi profe-
ctò reſtitiſſet, atque adeò
repugnaſſet. Vides illius vir-
tutes ab eadem origine pro-
fluxiſſe, ex qua ij qui ven-
tri ad inſaniam vſque in-
dulgent, ex qua ij qui al-
lia præferunt mannæ? In-
de Daniel cùm eſſet ortus,
philoſophum ſe eſſe oſten-
dit. 6. *Et in his fuerunt de
filiis Iuda, Daniel, & A-
nanias, & Azarias, & Mi-
ſaël.* 7. *& impoſuit eis no-
mina præpoſitus eunuchorum;
Danieli quidem, Baltaſar;
& Ananiæ, Sedrachus; &
Azariæ, Abdenago; & Mi-
ſaeli, Miſachus. Danieli,*
inquit, *impoſuit nomen Bal-
taſar.* Ita quoque Deus il-
lorum vocabatur: quin po-

tiùs ſic appellabatur filius Regis. Auſuſne eſt igitur captiuum eodem nomine inſignire? Prorſus id auſus eſt; niſi quod non eſt idem nomen ac decus, ſed multa intercedit differentia, ſi-
Gen. cut in Ioſepho, adorauit
47.31. eum pater ipſius. Sed quid magni, nomen illud ei inditum eſſe? Nonne etiam hodie inter plebeios videmus regum nominibus appellari multos? At non in regiâ, dicet aliquis. Cuius autem rei gratiâ nominum iſta mutatio fit? Aſpice res vndique diſponi. Non videt ſomnium Rex priuſquam tres illi anni completi ſint. Vides prouidentiam Dei? Cur igitur? Vt maiori libertate loquendi Daniel frueretur. At, dixerit aliquis, manifeſtiùs in admiratione ac claritate fuiſſet Daniel, ſi ante tres illos annos Nabuchodonoſor ſomnium vidiſſet? Atqui edictum illud contra Pueros prolatum non fuiſſet: aliter autem nec Danieli creditum eſſet. Propterea in paruis ac exiguis rebus Eunuchus beneuolentiæ Dei erga illos periculum facit, vt quando de maioribus rebus illum poſtula-

λον δὲ ὁ υἱὸς τοῦ βασιλέως οὕτως ἐγένετο. ἐτόλμησε κἂν οὖν τὸν αἰχμάλωτον οὕτω καλέσαι; μάλιστα μὲν οὖν ἐτόλμησεν ἄν. πλὴν οὐκ ἔστι τὸ αὐτὸ ὄνομα, ἀλλὰ πολλὴ ἡ διαφορά, ὥσπερ ἐπὶ τοῦ ἰωσήφ, προσεκύνησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. καὶ τί μέγα τὸ ὄνομα τοῦτο κληθῆναι αὐτόν; οὐχ ὁρῶμεν καὶ νῦν τοῖς τῶν βασιλέων ὀνόμασιν ἰδιώτας καλουμένους πολλούς, ἀλλ' οὐκ ἐν τοῖς βασιλείοις φησί. τίνος δὲ ἕνεκεν ἡ τῶν ὀνομάτων μεταβολὴ γίνεται; ὅρα πανταχόθεν οἰκονομούμενα τὰ πράγματα. οὐ πρότερον ὁρᾷ τὸ ἐνύπνιον, ἕως τοῦ πληρωθῆναι τὰ τρία ἔτη. ὁρᾷς ὅτι θεὸς οἰκονομεῖ; τίνος οὖν ἕνεκεν; ἵνα πλείονος παρρησίας ἀπολαύσῃ· καὶ μὴν σαφέστερον ἐθαυμάσθη ἄν, καὶ ἐφάνη; εἴποι τις ἄν, εἰ πρὸ τῶν τριῶν ἐτῶν εἶδε τὸ ἐνύπνιον; ἀλλ' οὐκ ἂν ἦλθε καὶ κατ' αὐτῶν τὸ δόγμα, ἄλλως δὲ οὐδ' ἐπιστεύθη ὁ δανιήλ. διὰ τοῦτο ἐν τοῖς μικροῖς καὶ ἐλάττοσι λαμβάνει πεῖραν τῆς εὐνοίας τοῦ θεοῦ τῆς περὶ ἑαυτοὺς ὁ εὐνοῦχος, ἵν' ὅταν ὑπὲρ τῶν μειζόνων ἀξιῶσιν αὐτόν,

αὐτῶν, μὴ διαπιστήσας διαπτύῃ, καὶ ἵνα μάθωσι καλῶς διαλέγεσθαι, ἵνα πλείονος παῤῥησίας ἀπολαύσωσιν. οὐχ ὁρᾷς ἀπὸ τοῦ δαβὶδ τοῦτο γενόμενον· πῶς ἠπίστησεν αὐτῷ ὁ βασιλεὺς ἐπαγγελλομένῳ ἀλλόφυλον αἱρήσειν, ἀπὸ τῆς ἡλικίας κρίνων τὰ πράγματα; ὅρα λοιπὸν τῆς ὁδοῦ τὴν αἰτίαν τοῦτον μαθόντα. τῶν βαρβάρων ἔμαθον ἀκριβῶς μωυσῆς καὶ δανιήλ· ἵνα γὰρ μὴ ἀγνοίᾳ δοκῶσι προτιμᾷν τὰ οἰκεῖα τῶν ἀλλοτρίων, τούτου χάριν ἀφίησιν αὐτοὺς μετέχειν κἀκείνων, ἵν' ὅταν ἴδῃς, μᾶλλον δ' ἀκούσῃς μωυσέως λέγοντος, ὅτι οὐκ ἔστι σοφία οἵα ἡ ἡμετέρα, μήτε φίλτρου, μήτε ἀγάπης εἶναι νομίσῃς τὴν ἀπόφασιν, ἀλλὰ κρίσεως ὀρθῆς. οὐδὲ γάρ ἐστιν εἰπεῖν ὅτι διὰ τὸ πρὸς τοὺς διδάξαντας ἄχθος ἀπεπήδησε τῆς ἐκείνων παιδεύσεως, ἀμφότεροι γὰρ πολλῆς ἀπολαύουσι τῆς τιμῆς, καὶ προτιμῶσι τὰ οἰκεῖα. ὅπερ οὖν καὶ παῦλος θαυμάζων ἔλεγεν· οὐκ εἵλετο πρόσ-

uerint, diffidens non respuat, & vt discant eâ linguâ optimè loqui, ad maiorem nimirum fiduciam obtinendam. Nonne vides Dauidi id contigisse, cùm rex Saül de rebus ex ætate iudicans, illi pollicenti quòd alienigenam interfecturus esset, fidem non habuit? De cetero aduerte Danielem instituti ac sectæ barbaricæ caussam & rationem intellexisse. Barbarorum quippe disciplinas accuratè didicerunt Moses & Daniel. Ne enim ignorantiâ adducti, putarentur sua alienis præferre, eâ causâ Deus permisit illis, etiam alienæ scientiæ participes fieri: vt quando videris seu potiùs audieris Mosem dicentem; *Non est sapientia qualis nostra;* non propensionis nec amoris censeas esse sententiam, sed recti iudicij. Nam dici nequit Danielem odio erga præceptores resiliisse ab illorum doctrinâ. Ambo enim, Moses & Daniel, multo honore ab extraneis afficiuntur, & tamen gentis suæ instituta anteponunt. Et hoc est quod cum admiratione de Mose dicebat Paulus: *Non elegit tempo-*

Deut. 4.

Heb 11. 25.

K

rali peccati voluptate frui; maiores Ægypti thesauris diuitias eſſe ratus Chriſti probrum. 8. & poſuit Daniel in corde ſuo, ne pollueretur in menſa Regis, & in vino de potu eius. Et rogauit præpoſitum eunuchorum ne contaminaretur. 9. & dedit Deus Danielem in miſericordiam, & in miſerationem in conſpectu principis eunuchorum. Aſpice Danielem à bonis operibus incipere. Ita ex eo tempore oſtendit magnum ſe eſſe, atque admirabilem. quare Scriptura præſtantiori eum nomine (Danielis) appellat. Porro in quibus poterat, legem ſeruabat. Quis alius, quæſo, menſam regiam cenſuiſſet eſſe piaculum? Aſpice quomodo ſtatim ab exordio ſuum erga ſapientiam amorem demonſtret. *Et rogauit*, inquit, *præpoſitum eunuchorum ne contaminaretur.* Animaduerte quàm non ſit ambitioſus. Non dixit; animam mihi potiùs adimi patiar: ſed rogauit, vt ſi fieri poſſet, lateret. Quam ob cauſſam, inquit, honores ambirem. At non ſic Ioſephus, nec Moyſes. Quid igitur? Illóſne condemna-

καιρὸν ἔχειν ἁμαρτίας ἀπόλαυσιν· μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν αἰγύπτῳ θησαυρῶν, τὸν ὀνειδισμὸν τοῦ χριστοῦ. καὶ ἔθετο δανιὴλ ἐν τῇ καρδίᾳ αὐτοῦ μὴ ἀλισγηθῆναι ἐν τῇ τραπέζῃ τοῦ βασιλέως, καὶ ἐν τῷ οἴνῳ τοῦ πότου αὐτοῦ, καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον ὅπως μὴ ἀλισγηθῇ. καὶ ἔδωκεν ὁ θεὸς τὸν δανιὴλ εἰς ἔλεον, καὶ εἰς οἰκτιρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου. ὅρα τοῦτον ἄρχοντα τῶν ἀγαθῶν. οὕτως αὐτόθεν ἐνέφαινεν ὅτι μέγας τις ἦν καὶ θαυμαστός. τοῦτον γὰρ τῷ βελτίονι καλεῖ ὀνόματι. ἐν οἷς δὲ δυνατὸν ἦν, τὸν νόμον ἐφύλαττεν. τίς ἂν ἕτερος εἰπέ μοι, μίασμα εἶναι ἐνόμισε τὴν τράπεζαν τὴν βασιλικήν; ὅρα αὐτὸν ἐκ προοιμίων εὐθέως ἐνδεικνύμενον τὴν φιλοσοφίαν. καὶ ἠξίωσε, φησὶ, τὸν ἀρχιευνοῦχον ὅπως μὴ ἀλισγηθῇ. ὅρα πῶς ἐστιν ἀφιλότιμος. οὐκ εἶπεν, ὅτι τὴν ψυχήν μου δώσω, ἀλλ' ἠξίωσεν, εἰ δυνατὸν λαθεῖν. τίνος ἕνεκεν φιλοτιμοῦμαι, φησί. ἐπεὶ οὐχ ὁ ἰωσὴφ οὕτως, οὐδὲ μωυσῆς. τί οὖν; ἐκείνων καταγνωσό-

μεθα; μὴ γένοιτο. οὐ γὰρ ᾔδεσαν ὅτι ποτὲ ἦν. οὔπω γὰρ ἦν κατὰ τὸν νόμον παραίτησις τῶν βρωμάτων. ὅρα αὐτὸν καὶ ἐλέγχοντα, καὶ φιλοσοφοῦντα, καὶ ἐν τοῖς μικροῖς ἐνδεικνύμενον τὴν φιλοσοφίαν, καὶ ὅπερ ἔλεγον οἱ ἀπόστολοι, ταῦτα ἔδει πρόσω ποιῆσαι, κἀκεῖνα μὴ ἀφεῖναι. ταῦτα δὲ ἔπραττεν, οὐκ ἐπειδὴ εἰδωλόθυτα ἦν, ἀλλ' ἐπειδὴ κεκωλυμένα ὑπὸ τοῦ νόμου ἦν. πῶς οὖν ἔπεισεν; ὅρα πῶς εὐθέως ἔλυσέ σοι τὴν ἀπορίαν. ἔδωκε, φησὶ, ὁ θεὸς τὸν Δανιὴλ εἰς ἔλεον, καὶ εἰς οἰκτιρμὸν ἐνώπιον τοῦ ἀρχιευνούχου. τοῦτο καὶ ἐπὶ τοῦ ἰωσὴφ γέγονεν, κἀκεῖ ἠλεήθη ἰωσὴφ καὶ χάριν εὗρεν ἐπὶ τοῦ ἀρχιμαγείρου· πλὴν ἀμφότεροι δοῦλοι, καὶ ἐν οἰκείαις βαρβαρικαῖς. καὶ γὰρ ἦν ὄντως ἱκανὰ ἐκλῦσαι τὸν θυμὸν τοῦ βασιλέως τὰ εἰρημένα. τί λέγεις; ἐναγῆ τὴν τράπεζαν ὀνομάζεις εἰπέ μοι τὴν δεσποτικήν; καθαρώτερος ἡμῖν

bimus? Absit. Nescierunt enim quidnam illud esset. Nondum siquidem existebat illa quæ postea à Lege est instituta ciborum repudiatio. Vide ipsum & arguentem & philosophantem, & in paruis rebus specimen sapientiæ suæ exhibentem. Atque id est quod dicebant Apostoli: *Hæc oportebat priùs facere, & illa non omittere.* Luc. 11. 42. Hæc autem Daniel faciebat, non quòd idolis sacrificata essent quæ apponebantur, sed quòd à Lege essent prohibita. Quomodo igitur eunuchorum magistro persuasit? Aduerte vt statim tibi soluat dubitationem. *Dedit*, inquit, *Deus Danielem in misericordiam & in miserationem in conspectu principis eunuchorum.* Illud etiam Iosepho accidit: in Ægypto quoque Iosephus misericordiam consecutus est, & gratiam inuenit apud cocorum præfectum: porro vtrique serui, & in barbarico solo degebant. Erant sanè verba Danielis idonea ad exsoluendam (vel attrahendam) iram Regis. Quid ais? Dominı mensam execrabilem appellas? Anne purior no-

bis tu apparuisti? Nonne nosti ideo vos linguam ac literas Chaldæorum discere, vt ad nostrum ordinem transeatis? Vnde verò omnino Eunuchus illum reueritus est? Puer erat contemptibilis ac captiuus. Nam etsi reuerendus fuisset: at periculum non sinebat ipsum venerabilem videri. Et propter hoc postquam dixit: *Dedit eum in misericordiam*, subdit verba Eunuchi, & multum timorem illius. Quomodo? Id impossibile fuisset atque prohibitum, nisi cœlestis gratia omnia dispensasset. 11. *Et dixit Daniel ad Amelasarem, quem constituerat magister eunuchorum super Danielem, Ananiam, Azariam & Misaëlem.* 12. *Tenta obsecro, seruos tuos per dies decem; & dent nobis de seminibus terræ; & comedamus, & aquam bibamus.* 13. *& appareant coram te vultus nostri, & vultus puerorum qui comedunt è mensa Regis: & sicut videris, facito cum pueris tuis.* 14. *& exaudiuit eos, & tentauit eos per dies decem.* 15. *& post finem decem dierum visi sunt vultus eorum boni, & ipsi corpore pin-*

αὐτοῖς ἀνεφάνης; οὐκ οἶδας ὅτι διὰ τοῦτο τὴν γλῶτταν καὶ γράμματα μεμαθήκατε χαλδαϊκά, ἵνα πρὸς τὴν ἡμετέραν μεταστῆτε τάξιν; πόθεν δ' ὅλως αὐτὸν ᾐδέσθη ὁ εὐνοῦχος; τὸ παιδίον εὐκαταφρόνητον ἦν, αἰχμάλωτον. εἰ γὰρ καὶ αἰδέσιμος ἦν, ἀλλ' ὁ κίνδυνος οὐκ εἴα αἰδέσιμον αὐτὸν φανῆναι. διὰ γὰρ τοῦτο εἰπὼν ὅτι ἔδωκεν αὐτὸν εἰς ἔλεον, λέγει τὰ ῥήματα τοῦ εὐνούχου καὶ τὸν πάλιν φόβον. πῶς; οὐκ ἦν δυνατόν, ἀλλὰ κεκωλυμένον, εἰ μὴ ἄνωθεν χάρις πάντα ᾠκονόμει. καὶ εἶπε δανιὴλ πρὸς ἀμελσὰδ, ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος ἐπὶ δανιήλ, ἀνανίαν, ἀζαρίαν, καὶ μισαήλ. πείρασον δὴ τοὺς δούλους σου ἡμέρας δέκα, καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν σπερμάτων τῆς γῆς, καὶ φαγόμεθα, καὶ ὕδωρ πιόμεθα, καὶ ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν, καὶ αἱ ἰδέαι τῶν παιδαρείων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως, καὶ ὡς ἐὰν ἴδῃς, ποίησον μετὰ τῶν παίδων σου. καὶ εἰσήκουσεν αὐτῶν, καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαί, καὶ αὐτοὶ ἰσχυροὶ

ταῖς σαρξὶν ὑπὲρ τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως. πολλὴ ἡ παρρησία, μεγίστη ἡ προθυμία, πολλὴ ἡ σύνεσις, μεγάλη ἡ πίστις. πείρασον τοὺς παῖδάς σου ἡμέρας δέκα. εἶτα ἵνα μὴ νομίσῃς τῆς φύσεως τῶν σπερμάτων εἶναι τὸ φαιδρὸν τοῦ προσώπου, ὅρα δὲ ὕδωρ· τὸ μὴ τρέφον. καὶ οὐχ ἁπλῶς εὐπαθεῖς ἐφάνησαν, ἀλλὰ καὶ τῶν ἀπολαυόντων τῆς τραπέζης τῆς βασιλικῆς εὐπαθέστεροι. ὅτι δὲ κρέα καὶ οἶνος πάντων μᾶλλον τρέφειν εἴωθε, παντί δῆλόν ἐστι. ὅρα ἐκ προοιμίων εὐθέως τὴν ἐπανθοῦσαν χάριν ἐκ τῆς προαιρέσεως τῶν παίδων, * ἐκ τῆς χάριτος τοῦ θεοῦ. ἡ μὲν γὰρ προαίρεσις ἐκ τοῦ μὴ θελῆσαι, ἡ δὲ χάρις ἐκ τοῦ δυνηθῆσαι. καὶ ὀφθήτωσαν, φησί, ἐνώπιόν σου. σοὶ τὴν κρίσιν ἐπιτρέπομεν. κούφη δὲ καὶ εὐμαρὴς ἡ χάρις· διὰ τῶν πραγμάτων πιστώθητι. ἐγὼ μὲν γὰρ οἶδα σαφῶς· καὶ πρὸ τοῦ τέλους οὐκ ἀποφαίνομαι, διὰ σέ. ὅρα πῶς καὶ τοὺς οἰκέτας ἐπαίδευσεν εὐθέως, καὶ ἐδίδαξεν, ὅτι φιλόθεός τίς ἐστιν. καὶ οὐχ ἁπλῶς μεθ' ἡμῶν φησι ποίησον, ἀλλὰ

* add. καὶ

guiores, quàm pueri qui comedebant de mensa Regis. Magna libertas, maxima animi alacritas, multa prudentia, ingens fides. *Tenta pueros tuos per dies decem.* Deinde vt ne existimes, à seminum natura oriri faciei hilaritatem; respice quoque ad aquam, quæ nullatenus nutrit. Et non modò bona corporis habitudine prædíti apparuerunt; sed & habitiores iis qui regia mensa fruebantur. Quòd autem carnes & vinum magis nutriant quàm cætera alimenta, vnicuique est manifestum. Cerne vt statim ab initio gratia ex voluntate puerorum & ex dono Dei efflorescat. Voluntas siquidem est, quòd noluerint: donum verò, quòd potuerint. *Et appareant*, inquit, *coram te.* Iudicium tibi permittimus. Leuis autem & facilis est gratia quam petimus. Res tibi fidem faciant. Ego quippe euentum perspicuè noui: at propter te nihil ante finem affirmo. Cerne quomodo etiam famulos statim erudierit, ac docuerit se esse Dei amantem. Et non simpliciter dicit, *facito* nobiscum: sed,

facito cum pueris tuis. Sicque exorsus aiebat: *Tenta pueros tuos*. Non recusabant humanos honores exhibere, vbi nihil esset quod pietatem læderet. Quandoquidem & Paulus idem facit. Nam inchoans defensionem suam, à laudibus iudicis incipit, ita loquens:

Act.24. 3. *In multa pace agentes per te*. Idem Apostolus rebus ciuilibus vsus est. Nathan quoque prophetans adorat Dauidem: Iacobus similiter Pharaonem adorat, & Abrahamus contubernales. Daniel denique, de quo nunc

Dan. 6. 21. sermo est, Regi dicit: *In æternum viue*. Animaduerte verbum adulationis plenum. At ego non id dixerim adulationem, sed prudentiam & sapientiam. Ita

Coloss. 4. 5. & Paulus ait: *In sapientia ambulate ad eos qui foris sunt, tempus redimentes*. Ita

Luc.20. 25. etiam Christus docuit: *Reddite quæ sunt Cæsaris, Cæsari; & quæ sunt Dei, Deo*. Quid igitur semina immunda non erant? Minimè: sed nec aqua. Et hoc per tres annos fecerunt. 18. *Et completis*, inquit, *diebus, post quos dixerat Rex, vt introduceret ipsos, archieunuchus*

μετὰ τῶν παίδων σου. καὶ ἀρχόμενος οὕτως ἔλεγε, πείρασον τοὺς παῖδας σου. οὐ παρῃτοῦντο τὰς ἀνθρωπίνας τιμὰς, ἔνθα τὴν εὐσέβειαν οὐδὲν ἔβλαπτεν, ἐπιδείξασθαι. ἐπεὶ καὶ παῦλος αὐτὸ ποιεῖ. ἀπολογίας ἀρχόμενος, ἐξ ἐγκωμίων τοῦ δικάζοντος ἄρχεται οὕτω λέγων· πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ· καὶ πολιτικοῖς κέχρηται πράγμασι. καὶ προφητεύων δὲ ὁ νάθαν προσκυνεῖ τὸν δαβὶδ, καὶ ὁ ἰακὼβ τὸν φαραὼ, καὶ ὁ ἀβραὰμ τοὺς συνοίκους. καὶ οὗτος αὐτὸς εἰς τὸν αἰῶνά φησι ζῆθι. ὅρα ῥῆμα κολακείας γέμον. ἀλλ᾽ οὐκ ἂν εἴποιμι τοῦτο κολακείαν, ἀλλὰ σύνεσιν, καὶ σοφίαν. οὕτω καὶ παῦλός φησι, ἐν σοφίᾳ περιπατεῖται πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. οὕτω καὶ ὁ χριστὸς ἐδίδασκεν· ἀπόδοτε τὰ καίσαρος καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. τί οὖν τὰ σπέρματα μιαρὰ οὐκ ἦν; οὐδαμῶς, οὐδὲ τὸ ὕδωρ. καὶ τοῦτο διετέλεσαν ἔτη τρία ποιοῦντες. καὶ μετὰ τὸ τέλος, φησὶ, τῶν ἡμερῶν, ὧν εἶπεν ὁ βασιλεὺς εἰσαγαγεῖν αὐτοὺς, εἰσήγαγεν

αὐτοὺς ὁ ἀρχιευνοῦχος πρὸς ναβου-
χοδονόσορ. καὶ οὐχ εὑρέθησαν ἐκ πάν-
των αὐτῶν ὅμοιοι δανιὴλ, καὶ ἀνα-
νίᾳ, καὶ μισαὴλ, καὶ ἀζαρίᾳ. καὶ ἔστη-
σαν ἐνώπιον τοῦ βασιλέως, καὶ ἐν
παντὶ ῥήματι σοφίας καὶ ἐπιστή-
μης, ἐν οἷς ἐζήτησε παρ' αὐτῶν ὁ
βασιλεὺς, εὗρεν αὐτοὺς δεκαπλα-
σίονας ὑπὲρ πάντας τοὺς ἐπαοιδοὺς,
καὶ τοὺς μάγους τοὺς ὄντας ἐν πάσῃ τῇ
βασιλείᾳ αὐτοῦ. καὶ μετὰ τὸ τέλος τῶν
ἡμερῶν, φησὶ, ὡράθησαν αἱ ἰδέαι
αὐτῶν ἀγαθαὶ, καὶ εἰς κάλλος καὶ
εὐεξίαν ἐπεδώκασιν. ὅρα παρὰ φύ-
σιν τὰ πράγματα· ὅρα τὸν διανοί-
γοντα τὸν δημιουργὸν τὴν ἐνέργειαν τὴν
αὐτοῦ. καθάπερ γὰρ πλαστογράφος
ἐκεῖνος ἂν μάλιστα φανείη, ὁ μὴ
μόνον ἀναχωνεῦσαι τὸν χαλκὸν
δυνάμενος καὶ διαπλάσαι, ἀλλὰ καὶ
τοῦτο οὐχ ἧττον ὁ γενόμενον ἤδη τὸν
ἀνδριάντα διορθῶσαι δυνάμενος·
οὕτω καὶ ἐπὶ τοῦ θεοῦ, καὶ τῶν παίδων
ἐκείνων ἴδοι τις ἄν. τὸ γὰρ ἀπὸ γῆς
ἄνθρωπον ποιῆσαι τὸ μετὰ τοιαύ-
της τροφῆς εὐπαθῆ δεῖξαι τὰ
σώματα οὐχ ἧττον εἰς δημιουρ-
γίας λόγον τεκμήριον ἦν. πόθεν ἡ
εὔχροια; πόθεν τὸ ἄνθος ἀποστιλ-
βον; πόθεν ἡ ἰσχύς; ἴστε δὲ ὅτι καὶ

introduxit eos ad Nabuchodonosorem. 19. & non inuenti sunt ex omnibus illis similes Danieli & Ananiæ, & Misaëli & Azariæ. 20. & steterunt in conspectu Regis, & in omni verbo sapientiæ ac scientiæ, quod sciscitatus est ab eis Rex, inuenit eos decuplo præstantiores omnibus incantatoribus & magis, qui erant in vniuerso regno eius. Et post finem dierum, inquit, *visi sunt vultus eorum boni :* & pulcritudine ac bonâ corporis habitudine profecerant. Aspice res quæ præter naturam sunt. Aspice mundi opificem qui efficaciam suam adaperit. Quemadmodum enim fictor maximè videbitur is, qui non modò æs conflare ac conformare valebit ; sed & illo non minus is qui iam factam statuam poterit corrigere : idem quoque in Deo & pueris illis agnouerit quispiam. Nam corpora post talem alimoniam pinguia præstitisse, non minus facultatis creatricis indicium erat, quàm hominem è terra formasse. Vnde nitidus color? Vnde flos ac decor fulgorem emittens? Vnde robur? Nostis enim aquæ potu &

ſeminum eſu deſtrui corporis vires. Nam ne panem quidem comedere ſuſtinebat. Non eſt autem parua diſtantia inter frumentum ſubactum ac confectum, & frumentum infectum ac non præparatum. Non enim ex ſolo eſu robur oritur; ſed etiam ex coctione ciborum qui manducantur; at ſemina concoqui præter naturam eſt. Aduerte hæc ſigna non ex ambitione petentium initium ſumere, ſed à neceſſario vſu cauſſam atque occaſionem habere. Non enim abſolutè ac nullâ re obiectâ inſiluit in experimentum; ſed neceſſitate illum ad hoc vocante. Itaque procul ab ambitione erat animus puerorum. Quamquam quis tantâ præditus fide, & inter barbaros degens, non cupiiſſet dominis oſtentare Dei erga ſe beneuolentiam? At non iſti. Dan.13. Reſpice & ad reprehenſionem Senum; vt etiam ipſa ex neceſſitate prouenerit.

καθαιρεῖ ἰσχὺν ἡ ὑδροποσία, καὶ φάγησις σπερμάτων. οὐδὲ γὰρ ἄρτον ἠνείχετο φαγεῖν. οὐκ ὀλίγον δὲ τὸ μέσον τοῦ κατειργασμένου σίτου καὶ ἀνεργάστου. οὐ γὰρ ἐκ τοῦ φαγεῖν μόνον γίνεται ἡ ἰσχὺς, ἀλλὰ καὶ ἐκ τοῦ πεφθῆναι τὰ διδόμενα. ταῦτα δὲ πεφθῆναι οὐκ ἦν κατὰ τὴν φύσιν. ὅρα τὰ σημεῖα ταῦτα οὐκ ἐκ φιλοτιμίας τῶν αἰτούντων λαμβάνοντα τὴν ἀρχὴν, ἀλλὰ ἀπὸ χρείας ἀναγκαίας ἔχοντα τὴν ὑπόθεσιν. οὐ γὰρ ἁπλῶς οὐδενὸς προκειμένου ἐπεπήδησε τῇ πείρᾳ· ἀλλὰ ἀνάγκης αὐτὸν ἐπὶ τοῦτο καλούσης. οὕτω καὶ πόῤῥω φιλοτιμίας ἦν τῶν παίδων ἡ ψυχή. καίτοιγε τίς τοσαύτην ἔχων πίστιν, καὶ ἐν μέσοις βαρβάροις ὢν, οὐκ ἂν ἠθέλησεν ἐπιδείξασθαι τοῖς κρατοῦσι τὴν εὔνοιαν, ἣν ὁ θεὸς εἶχε περὶ αὐτούς; ἀλλ' οὐχ οὗτοι. ὅρα καὶ ἐπὶ τῶν ἐλεγχθέντων πρεσβυτέρων, πάλιν πῶς ἐξ ἀνάγκης ἔρχεται.

CAPVT II.

v. 1. *In anno ſecundo regni Nabuchodonoſoris*,

ΚΕΦ. Β'.

Ἐν τῷ ἔτει δευτέρῳ τῆς βασιλείας ναβουχοδονόσορ,

ἐνυ-

ἐνυπνιάσθη ναβουχοδονόσορ ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἐξ αὐτοῦ. καὶ μὴν δωδέκατον τοῦτο ἐστὶν ἔτος. εἰ γὰρ τρία ἔτη μετὰ τὸ ἁλῶναι τὴν πόλιν ἦν, ἐκείνη δὲ ἐννάτῳ ἑάλω, δωδέκατον τοῦτο ἐστὶν ἔτος. τινές φασιν ὅτι τῷ αὐτῷ σημείῳ παρ' ἑβραίοις καὶ οὗτος κἀκεῖνος ὁ ἀριθμὸς γίνεται, ἢ καὶ σφάλμα γραφικόν ἐστιν, ἢ δευτέρῳ ἔτει παραστῆναι τοὺς παῖδας, ἀλλ' οὐκ ἂν ἔχει λόγον. πρᾶγμα δὲ συμβαίνει ἀπορώτερον. ποῖον δὲ τοῦτο; τὸ μὴ εἰδέναι τί ποτέ ἐστι τὸ ἐνύπνιον. καὶ σαφῶς τοῦτο γίνεται. εἰ γὰρ μὴ τοῦτο ἐγένετο, οὐκ ἂν ἐφάνη ἡ σοφία τοῦ δανιήλ. ὁρῶμεν γὰρ ὅτι καὶ ἐκλήθη ἄν, καὶ εἶπε τὸ μέλλον· ἔλεγον κἀκεῖνοι. τῆς ἐκβάσεως οὐκ οὔσης τίς ἀληθὴς καὶ ὁ ψευδής; καὶ τοῦτο ἐφ' ἑτέρων γυμνάζειν χρή. αὐτὸ δὲ τοῦτο τὸ ἐνύπνιον παραγέσθω εἰς μέσον. λεγέτω ἅπερ ὁ δανιὴλ εἶπεν, λεγέτωσαν τἀναντία κἀκεῖνοι. πόθεν δῆλον ὅτι ψεύδεται, ἢ

ſomniauit Nabuchodonoſor ſomnium : & obſtupuit ſpiritus eius, & ſomnus eius abiit ab eo. At iſte annus eſt duodecimus. Nam ſi tres anni à capta vrbe præterierant, & illa anno nono expugnata fuit: iſte annus duodecimus eſt. Quidam dicunt eâdem notâ apud Hebræos hunc & illum numerum exarari. Fortaſſis etiam erratum eſt exſcriptorum : vel ſecundo reuera anno pueri exhibiti ſunt. Sed hoc vltimum ratione caret. Cæterum res accidit ſolutu difficilior. Quænam verò illa eſt? Neſciſſe Regem quodnam fuerit ſomnium ſuum. Et hoc prouidenter contigit. Niſi enim id eueniſſet, non apparuiſſet Danielis ſapientia. Videmus enim quòd ipſe vocatus fuiſſet, & id quod futurum erat dixiſſet ; dixiſſent etiam Chaldæi : verùm cùm euentus præſens non eſſet, quis verax, quis mendax creditus fuiſſet? Et hoc per alia examinare oportet. Ipſum autem ſomnium in medium producatur : dicat Daniel quæ reſpondit ; contraria dicant Chaldæi : vnde manifeſtum fiet Danielem mentiri vel

vera dicere? Iam igitur probationem dat. At in Ioſepho res eo modo peracta non eſt: ſed ſomnium narrauit Pharao. Propè enim erat tempus euentus. Admiratione autem dignum eſt, quomodo in Ægypto fingere aliquid noluerint ſapientes Ægyptiorum; cùm nullum inde periculum oriri potuiſſet: ſed faſſi ſint ſe hærere. Quòd ſi ſomnia diiudicare neſciant, in qua re alia illis credendum eſt? Alioquin autem illic non oportebat id fieri; at in prophetia Ioſephi manifeſtò factum eſt, & maximè in Eunuchis. Obſerua autem quòd Chaldæi non vocarunt Danielem; ſed maluerunt mori, quàm illum ſermone hominum celebratum intueri. Numquid ideo tantùm ſomnium viſum fuerat, vt Daniel ſuſpiceretur? Id equidem non dixerim. Quamquam licèt ea dumtaxat cauſſa fuiſſet, magnum certè ac admirabile eſſet facinus, tantam Dei agnitionem contigiſſe. At non hæc ſola ratio fuit. Quænam igitur alia? Vt & Nabuchodonoſor modeſtiùs de ſe ſentiret, edoctus non ſemper

ἀληθεύῃ; ἤδη οὖν δίδωσι τὴν δοκιμήν. ἐπὶ δὲ τοῦ ἰωσὴφ οὐχ οὕτω γέγονεν, ἀλλὰ λέγει τὸ ὄναρ ἐκεῖνος, ἐγγὺς γὰρ ἦν ὁ καιρός. ἄξιον δὲ θαυμάσαι, πῶς ἐν αἰγύπτῳ οὐκ ἠθέλησαν τί πλάσαι οἱ σοφοὶ αἰγυπτίων, ἐκ τοῦ ἀκινδύνου, ἀλλ' ἔφασαν ἀπορεῖν. εἰ δὲ ὀνείρους οὐκ ἴσασι διακρῖναι, ποῦ δ' ἀλλαχοῦ πιστευτέον αὐτοῖς; ἄλλως δὲ οὐκ ἔδει ἐκεῖ τοῦτο γενέσθαι· ἐπὶ δὲ τῆς προφητείας τοῦ ἰωσὴφ φανερῶς ἐγένετο, καὶ μάλιστα ἐπὶ τῶν εὐνούχων. ὅρα δὲ τούτους μὴ καλοῦντας τὸν δανιὴλ, ἀλλ' αἱρουμένους ἀποθανεῖν μᾶλλον, ἢ ἐκεῖνον ἰδεῖν εὐδοκιμοῦντα. ἆρα διὰ τοῦτο μόνον ἐφάνη τὸ ὄναρ, ἵνα ὁ δανιὴλ θαυμασθῇ; οὐκ ἔγωγε εἴποιμι ἄν. ἐπεὶ καὶ εἰ τοῦτο ἦν μόνον, μέγα ἦν τὸ κατόρθωμα καὶ θαυμαστὸν, θεογνωσίαν γενέσθαι τοσαύτην. πλὴν οὐ τοῦτο μόνον ἐστίν. ἀλλὰ τί; ὥστε καὶ τοῦτον σωφρονισθῆναι μανθάνοντα, ὅτι οὐ διὰ παντὸς τὸ

γένος αὐτοῦ κρατήσει. εἰ γὰρ καὶ τούτων εἰρημένων τῆς ἀλαζονείας οὐ καθυφῆκε· πολλῷ μᾶλλον εἰ μὴ ταῦτα εἴρητο. ὥστε τὸν θεὸν ἐπιγνῶναι κύριον ὄντα τοῦ παντός. ἐπειδὴ γὰρ περὶ ὀνείρους μᾶλλον εἶχον, διὰ τοῦτο ταῦτα γίνεται. ἐντεῦθεν αὐτοὺς πείθει περὶ τῶν μελλόντων. καὶ ἐπειδὴ τούτῳ μάλιστα τοὺς θεοὺς ἐτίμων, τῷ προορᾶν τὰ μέλλοντα. καὶ γὰρ πᾶσα ἡ μαγγανεία αὐτοῖς περὶ τοῦτο ἦν. καὶ τὸ δόγμα ἐξῆλθε, καὶ οἱ σοφοὶ ἀπεκτείνοντο, καὶ ἐζήτησαν τὸν Δανιὴλ καὶ τοὺς φίλους αὐτοῦ ἀποκτεῖναι. καὶ τότε Δανιὴλ ἀπεκρίθη βουλὴν καὶ γνώμην τῷ Ἀριὼχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν ἀνελεῖν τοὺς σοφοὺς Βαβυλῶνος. καὶ ἐπυνθάνετο αὐτοῦ λέγων, ἄρχων τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν ἡ γνώμη ἡ ἀναιδὴς αὕτη ἐκ προσώπου τοῦ βασιλέως; εἶδες παρρησίαν, εἶδες ἀνδρείαν; πρὸς τὸν ἀνελεῖν κύριον οἷα φησι; καὶ ὑπὲρ τῶν ἄλλων ἀλγεῖ. οὐκ ἔχει λόγον, φησί, οὐδὲ πρόφασιν, οὐδὲ χρῶμα ἐπίκειται τῷ προστάγματι· ἀναιδεῖς γὰρ

ſuum genus dominaturum. Si enim etiam poſt illa quæ ipſi dicta ſunt, nihil faſtus remiſit: multò magis ſi ea ipſi dicta non fuiſſent. Præterea vt Deum, omnium eſſe dominum agnoſceret. Quandoquidem enim ſomniis præcipuè ſtudebant, idcirco iſta euenerunt. Hinc illos de futuris perſuadet. Et quoniam maximè ob futurorum præſcientiam Deos venerabantur. Etenim omnes illorum præſtigiæ in eo negotio verſabantur. 13. *Et ſententia egreſſa eſt, & ſapientes interficiebantur; & Daniel amicique eius quærebantur ad necem.* 14. *Tunc Daniel reſpondit conſilium & ſententiam Ariocho principi coquorum Regis, qui egreſſus fuerat ad interficiendos ſapientes Babylonis.* 15. *& interrogabat eum dicens: Princeps Regis, quamobrem egreſſa eſt ſententia impudens hæc à facie Regis?* Vides libertatem? Vides fortitudinem? Ad illum qui occidendi poteſtatem habebat qualia loquitur? Etiam aliorum vicem dolet. Non habet rationem, inquit, nec cauſſam; neque vllus color edicto adiacet: homines

enim eiusmodi impudentes solemus appellare. 16. *Indicauit autem Ariochus Danieli verbum. Et Daniel egressus est; & rogauit Regem, vt tempus sibi daret, & coniecturam somnij annuntiaret Regi.* Admirare permissionem Regis. Aspice vt omnes vbique Danieli obtemperent. At vnde Rex suspicatus est illum vera dicere? Quare non dixit: vniuersi deprehensi sunt ac conuicti; fassi sunt rem esse supra naturam humanam: & tu qui barbarus es, vnde putas te posse incolumem ac superiorem euadere? Verùm vbi Deus res dispensat & præparat, nihil ambigas. Alioquin & citra periculum erat ad Regem postea venire. Cur autem non illico Deus Danieli somnium reuelauit? Primùm quidem vt res manifesta fieret: & vt illi in magna necessitate constituerentur. Nam etsi Propheta esset; attamen somnium ignorabat. Rursus tibi se per viros iustos excusat, ostendens quòd si illis periclitaturis nihil concessit absque prece perseueranti, multominus tibi dabit. Propter hoc vbique Paulus postulat

τούτους καλοῦμεν. ἐγνώρισε δὲ ὁ Ἀριὼχ τῷ Δανιὴλ τὸ ῥῆμα. καὶ Δανιὴλ ἐξῆλθε, καὶ ἠξίωσε τὸν βασιλέα ὅπως χρόνον αὐτῷ δῷ, καὶ τὴν σύγκρισιν τοῦ ἐνυπνίου ἀπαγγείλῃ τῷ βασιλεῖ. θαύμασον πῶς ἐπέτρεψεν ἐκεῖνος. ὅρα πανταχοῦ πάντας πειθομένους αὐτῷ. ὅθεν πῶς ὑπώπτευσεν ἀληθῆ λέγειν αὐτόν; πῶς οὐκ εἶπεν, πάντες ἠλέγχθησαν, ὡμολόγησαν μὴ εἶναι ἀνθρωπίνης φύσεως τοῦτο· καὶ σὺ βάρβαρος ὤν, πόθεν οἴει περιγενέσθαι; ἀλλ' ὅταν ὁ θεὸς οἰκονομῇ, καὶ προκατασκευάζῃ τὰ πράγματα, μηδὲν ἀπόρει. ἄλλως δὲ καὶ ἀκίνδυνον ἦν ἐπ' αὐτὸν ὕστερον ἐλθεῖν. τίνος ἕνεκεν οὐκ εὐθέως αὐτῷ ὁ θεὸς ἀπεκάλυψε; πρῶτον μὲν ὥστε κατάδηλον γενέσθαι τὸ πρᾶγμα, ὥστε αὐτοὺς ἐν χρείᾳ καταστῆναι πολλῇ. εἰ γὰρ καὶ προφήτης ἦν, ὅμως ἠγνόησε. πάλιν σοι διὰ δικαίων ἀπολογεῖται δεικνὺς ὅτι * ἐκείνοις οὐκ ἔδωκε μέλλουσι κινδυνεύειν, χωρὶς εὐχῆς καρτερικῆς, πολλῷ μᾶλλον σοὶ οὐ δώσει. διὰ τοῦτο πανταχοῦ ταῖς εὐχαῖς αἰτεῖ ὁ Παῦ-

* add. εἰ

λος, τῇ προσευχῇ προσκαρτεροῦντες γράφων. οὐ γὰρ ἀρκεῖ βίος καθαρὸς ἐὰν * καὶ εὐχὴ προσῇ. ὅρα πάλιν τὴν πίστιν αὐτοῦ τὴν πολλήν. δεύτερος ἐστὶν ἆθλος· καὶ πάλιν ὁ δανιὴλ ἡγεῖται τοῦ πράγματος, καὶ χρόνον αἰτεῖ παρεσκευασμένον πρὸς πολλὴν καρτερίαν, καὶ εὐχήν. ὥστε οὐκ ἠξίου εὐθέως ἀκούεσθαι, ἔδωκεν ἐκεῖνος τὴν χάριν, ἀνεκοινώσατο τοῖς φίλοις. τότε τῷ δανιὴλ μυστήριον ἀπεκαλύφθη ἐν ὁράματι νυκτός, καὶ εὐλόγησε τὸν θεὸν τοῦ οὐρανοῦ δανιήλ, καὶ εἶπεν, εἴη τὸ ὄνομα τοῦ θεοῦ εὐλογημένον ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος, ὅτι ἡ σοφία, καὶ ἡ σύνεσις, καὶ ἡ ἰσχὺς αὐτοῦ ἐστι. καὶ αὐτὸς ἀλλοιοῖ χρόνους καὶ καιρούς, καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ φρόνησιν τοῖς αἰτοῦσι σύνεσιν. αὐτὸς ἀποκαλύπτει βαθέα, καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστι. σοὶ ὁ θεὸς τῶν πατέρων μου ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν, καὶ σύνεσιν ἔδωκάς μοι, καὶ νῦν ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ. οὐδέπω

* add. μὴ

preces, *Orationi insistentes* Rom. 12. 12.
scribens. Non enim sufficit vita pura, nisi etiam adsit oratio. Aspice iterum multam illius fidem. Secundum certamen hoc est: & adhuc Daniel præest ac negotium ducit, & tempus petit aptum ad multam tolerantiam atque orationem. Propheta non postulabat statim audiri: Rex beneficium largitus est, illúdque communicauit cum amicis ac sociis Danielis. 19. *Tunc Danieli mysterium reuelatum est in visione noctis.* 20. *& Daniel benedixit Deum cæli, ac dixit: sit nomen Dei benedictum à sæculo, & vsque in sæculum: quia eius est sapientia & intelligentia & fortitudo.* 21. *& ipse mutat tempora & ætates: constituit reges ac aufert; dans sapientiam sapientibus, & prudentiam illis qui petunt intellectum.* 22. *Ipse reuelat profunda & abscondita, cognoscens quæ in tenebris existunt: & lux cum ipso est.* 23. *Tibi Deus patrum meorum confiteor, te laudo: quia sapientiam & intelligentiam dedisti mihi. Et nunc nota fecisti mihi quæ rogauimus te.* Nondum ma-

nifestè ipsi reuelatum erat: sed adhuc in visione. Nam præexercetur Propheta. Vide autem illius fiduciam. *Quænam est sententia*, inquit, *impudens hæc?* Mihi quidem videtur etiam ante somnium inuentum, à cæde cohibuisse magistrum cocorum, tum inceptum accusando, tum pollicendo se reperturum calamitatis solutionem. Cur ergo reuelatum est Danieli? Quia enim est etiam inter viros sanctos excellentia, ideo Daniel præfertur. Et quomodo vidit? In visione, inquit; non secundùm humanam sapientiam. Et pulcrè id vocat mysterium, quod ab omnibus ignorabatur. *Et benedixit Deum cæli.* Omnipotentem intelligit: id est eum qui etiam illic, in barbarorum videlicet regione potens erat. Nusquam sacrificium & templum & altare, sed sola bona voluntas aderat; & omnia peragebantur. Aduerte eum post petitionem acceptam, non priùs ad aulam Regis cucurrisse, quàm beneficij datori maximas egisset gratias. Non sicut nos sæpe præ gaudio prospero-

φανερῶς αὐτῷ ἀπεκαλύφθη, ἀλλ' ἔτι ἐν ὁράματι. προγυμνάζεται γὰρ ὁ προφήτης. ὅρα δὲ αὐτοῦ τὴν παῤῥησίαν. τίς ἡ γνώμη, φησὶ, ἡ ἀναιδὴς αὕτη; ἔμοιγε δοκεῖ καὶ πρὸ τῆς εὑρέσεως κεκωλυκέναι τὸν ἀρχιμάγειρον τῆς σφαγῆς, τῷ τε κατηγορῆσαι τῆς ἐγχειρήσεως, τῷ τε ὑποσχέσθαι λύσιν εὑρεῖν τοῦ δεινοῦ. τί οὖν ἀπεκαλύφθη τῷ Δανιήλ; ἔστι γὰρ καὶ ἐν ἁγίοις ὑπεροχή. διὸ καὶ αὐτὸς προτιμᾶται. καὶ πῶς εἶδεν; ἐν ὁράματι, φησὶ, οὐ κατὰ ἀνθρωπίνην σοφίαν. καὶ καλῶς μυστήριον αὐτὸ καλεῖ, ὃ πᾶσιν ἠγνόητο. καὶ εὐλόγησε τὸν θεὸν τοῦ οὐρανοῦ. τὸν παντοκράτορα, φησὶ, τουτέστι τὸν καὶ ἐκεῖ ἐν τῇ βαρβάρων χώρᾳ δυνάμενον. οὐδαμοῦ θυσία, καὶ ναὸς, καὶ θυσιαστήριον, ἀλλὰ προαίρεσις ἀγαθή· καὶ πάντα ἠνύετο. ὅρα, μετὰ τὸ λαβεῖν τὴν αἴτησιν, οὐ πρότερον ἔδραμεν ἐπὶ τὴν αὐλὴν τοῦ βασιλέως, ἕως οὗ τῷ δεδωκότι χάριν ὡμολόγησε τὴν μεγίστην· οὐ καθάπερ ἡμεῖς πολλάκις ὑπὸ τῆς χαρᾶς τῶν κατορθου-

μένων, καὶ ἐπιλανθανόμεθα τῆς
εὐγνωμοσύνης· ἀλλ' οὗτος οὐχ
οὕτως, ἀλλὰ εὐλόγησε τὸν
θεὸν, καὶ εἶπεν· εἴη τὸ ὄνο-
μα τοῦ θεοῦ εὐλογημένον ἀπὸ
τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος. ἡ-
μεῖς μὲν γὰρ, φησὶ, πρόσκαι-
* lege ὀλιγο-χρόνιοι ροι καὶ * ὀλιγχρόνιοι, οὐ μὴν ὑ-
πὲρ τοῦ χρόνου τούτου τὴν εὐ-
λογίαν αἰαπέμπομεν, ἀλλ'
ὑπὲρ παντός· οὐχ ὑπὲρ οὗ ζῶ-
μεν, ἀλλὰ καὶ ὑπὲρ τούτου μὲν,
καὶ ὑπὲρ τοῦ πρὸ τούτου, καὶ ὑπὲρ
τοῦ μέλλοντος. ἀεὶ αὐτὸν εὐλογεῖ-
σθαι χρὴ, καὶ φαίνοντα καὶ μὴ
φαίνοντα. διὰ παντὸς γὰρ ἡ
πρόνοια αὐτοῦ τέταται. ὅρα πῶς
διὰ τῆς εὐχαριστίας ἐμφαίνει
καὶ τὴν γνῶσιν τῶν ὀνειράτων,
ὅτι ἡ σοφία, καὶ ἡ σύνεσις, καὶ
ἡ ἰσχὺς αὐτοῦ ἐστι, τουτέστι τὸ
εἰδέναι τὰ πάντα, καὶ προ-
γινώσκειν. ἐνταῦθα γὰρ τοῦτό
φησι, αὐτὸς οἶδε τὰ πάντα,
οὐδὲν ἀγνοεῖ. τί οὖν; τοῦτο μό-
νον; πρόγνωσιν ἔχει μόνον; καὶ
οὐκ εἶπεν, ἔχει, ἀλλ' αὐτοῦ
ἐστι. τὸ φυσικὸν ἡμῖν ἀγαθὸν πα-
* add. ἐκ ραστῆσαι βουλόμενος, ὅτι * φύ-
σεως ταῦτα αὐτῷ πρόσεστιν. τί οὖν;

rum successuum, etiam gratitudinis obliuiscimur. At non ita iste. Verùm benedixit Deum, & dixit: *Sit nomen Dei benedictum à sæculo, & vsque in sæculum.* Nos siquidem, inquit, temporarij & paucorum annorum sumus; non tamen pro tempore hoc tantùm sursum mittimus benedictionem; sed pro vniuerso tempore: non pro eo solo quo viuimus; sed etiam pro hoc quidem, & pro illo quod præteriit, & pro futuro. Semper Deum benedicere oportet, siue ille appareat, siue non appareat. Vbique enim illius prouidentia extensa est. Vide vt per gratiarum actionem ostendat quoque Deo competere scientiam somniorum. *Quia eius est sapientia & intelligentia & fortitudo.* Hoc est omnia scire ac prænoscere. Hîc enim illud ait: quod scilicet ipse omnia nouit, & nihil ignorat. Quid igitur? Illud tantùm? Solamne habet præscientiam? Et non dixit, habet: sed, *ipsius est;* exhibere nobis volens ea naturale illius bonum esse: quia ex natura illi hæc insunt. Quid ergo?

Præuidetne tantùm, non autem etiam facit? Sanè & facit. *Mutat ætates & tempora.* Non de annorum conuersionibus sermo est, sed de rerum vicissitudinibus. *Constituit Reges, & aufert.* Quia huiusmodi mutationum est auctor. An igitur hoc tantùm Deus; præuidet nempe ac facit; non & aliud maximum operatur, quòd etiam cum aliis communicat eam scientiam? *Dans sapientiam sapientibus.* Non iis qui antea sapientes erant: sed iis quibus sapientia datur. Si quis sapiens, non ab illo sapientiam habet, sapiens non est. Ne existimetis sapientiam artem esse Chaldaïcæ regionis: *Et prudentiam*, inquit, *illis qui petunt intellectum.* Deinde videamus an ex scientia, an ex natura Danieli id adfuerit. Etenim etiam hoc dicit. *Ipse reuelat profunda & abscondita.* Non dixit, inuenit: sed, reuelat aliis quæ profunda nobis sunt. Et *abscondita.* Quæ longo tempore dissociata, quæque occulta erant. *Cognoscens quæ in tenebris existunt. Et lux cum eo est.* Vide quid dicat. Quemadmodum ait Dauid:

προέοιδε μόνον, οὐχὶ δὲ καὶ ποιεῖ; ναὶ καὶ ποιεῖ. ἀλλοιοῖ καιροὺς καὶ χρόνους. οὐχὶ τὰς ἑπτὰς λέγων, ἀλλὰ τὰς τῶν πραγμάτων μεταβολάς. καθιστᾷ βασιλεῖς, καὶ μεθιστᾷ. ὅτι μεταβολὰς ἐργάζεται. ἆρ' οὖν τοῦτο μόνον, ὅτι προέοιδε καὶ ποιεῖ; οὐχὶ καὶ ἄλλο μέγιστον, ὅτι καὶ ἑτέροις μεταδίδωσι τούτου τοῦ εἰδέναι. διδοὺς σοφίαν τοῖς σοφοῖς. οὐχὶ πρὸ τούτου οὖσι σοφοῖς, ἀλλὰ τοῖς λαβεῖν. εἴ τις σοφὸς παρ' ἐκείνου τὴν σοφίαν ἔχει, οὐ σοφός. μὴ νομίσατε τέχνην εἶναι τῆς χαλδαϊκῆς. καὶ φρόνησιν, φησὶ, τοῖς αἰτοῦσι σύνεσιν. εἶτα ἴδωμεν πότερον ἐξ ἐπιστήμης αὐτῷ περιγέγονεν, ἢ κατὰ φύσιν. καὶ γὰρ καὶ τοῦτο λέγει. αὐτὸς ἀποκαλύπτει βαθέα, καὶ ἀπόκρυφα. οὐκ εἶπεν, εὑρίσκει, ἀλλὰ ἀποκαλύπτει ἑτέροις βαθέα ἡμῖν ὄντα, καὶ ἀπόκρυφα, τὰ ἐν μακροῦ τοῦ χρόνου ἀφεστῶτα καὶ κεκρυμμένα. γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστιν. ὅρα τί φησι. ὥσπερ ὁ Δαβὶδ λέγει·

ὡς

ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. τὸ πολὺ τῆς γνώσεως λέγει, ἤτοι ὅτι κἂν ἄδηλα ᾖ, αὐτῷ σκότος οὐκ ἔστιν, ἢ ὅτι φῶς αὐτῶν ἐστι. πῶς γινώσκει τὰ ἐν τῷ σκότει, ὡσανεὶ φῶς ἔχων μεθ' ἑαυτοῦ. μετ' αὐτοῦ ἐστιν ἀεί. ἀνθρωπίνως λέγει. ὥσπερ οὐδέν ἐστιν ἐν σκότει τῷ λύχνον ἅπτοντι, οὕτως οὐδὲ τῷ θεῷ. μᾶλλον δὲ εἴ τι πλέον, ὥσπερ τῷ τὸ φῶς ἔχοντι ἐν ὀφθαλμοῖς, τῷ ἀεὶ περιφέροντι αὐτό. φῶς ἐστιν. σοὶ ὁ θεὸς πατέρων μου, φησὶ, ἐξομολογοῦμαι, καὶ αἰνῶ, ὅτι σοφίαν καὶ σύνεσιν ἔδωκάς μοι. εὐκαίρως τῶν πατέρων ἐμνήσθη νῦν, δι' ἐκείνων αὐτὸν δυσωπῆσαι βουλόμενος, καθάπερ εἴ τις τινὰ ἐραστὴν σφοδρὸν τῶν ἐρωμένων ἀναμνήσειεν. ἐξομολογοῦμαι, φησὶ, εὐχαριστῶ καὶ αἰνῶ, ὅτι σοφίαν, καὶ σύνεσιν ἔδωκάς μοι. τὴν προτέραν φησί. καὶ νῦν ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ. ἴσως εἰκὸς αὐτὸν καὶ ἄλλα ἀξιῶσαι, ὥστε καὶ τὴν

Sicut tenebræ eius, ita & lumen eius. Pſ. 138. 12.
Magnitudinem cognitionis ſignificat. Seu quia licèt obſcura ſint, illi nullæ ſunt tenebræ; ſeu quia ipſe eorum lumen eſt. Quomodo cognoſcit quæ in tenebris ſunt? Quaſi qui ſecum lumen habeat. *Cum eo eſt ſemper.* Humano modo loquitur. Sicut nihil eſt tenebroſum illi qui lucernam accenſam habet; ita neque Deo. Imò verò ſi quid amplius dici poteſt: nempe ſicut ei qui lumen habet in oculis, & ei qui illud ſemper circumfert. Ipſa lux eſt. *Tibi Deus patrum meorum,* inquit, *confiteor, te laudo. Quia ſapientiam & intelligentiam dediſti mihi.* Opportunè patrum hîc meminit, per illos Deum flectere, ac veluti pudore afficere cupiens: quemadmodum ſi quis in memoriam alicuius acris amatoris, amores reduceret. *Confiteor*, inquit, gratias ago, & *laudo; quia ſapientiam & intelligentiam dediſti mihi.* Quam antea habebat ſcilicet. *Et nunc nota feciſti mihi quæ rogauimus te.* Veriſimile videtur Danielem etiam alia petiiſſe, adeò vt coniecturam

quoque illi Deus indicarit. 23. *Quia*, inquit, *somnium Regis manifestasti mihi.* 24. *& statim venit Daniel ad Ariochum*, *quem constituerat*, inquit, *Rex vt perderet sapientes Babylonis. & dixit ei: sapientes Babylonis ne perdas; introduc autem me in conspectum Regis; & annunciabo Regi coniecturam visionis.* Cucurrit ad eum, & ait: *Sapientes Babylonis ne perdas.* Quisnam de illis curam habuisset? Aspice Prophetæ humanitatem ac mansuetudinem. sed auditus non fuisset, nisi & illud addidisset: *Introduc me*, inquit, *& annunciabo Regi coniecturam visionis.* 25. *tunc Ariochus*, inquit, *introduxit Danielem in festinatione in conspectum Regis, & dixit: inueni virum de filiis captiuitatis Iudeæ, qui coniecturam annunciabit Regi. De filiis captiuitatis*, inquit, *inueni virum.* Non puduit generis. Vbi enim incumbit necessitas maior, nihil horum requiritur; sed fastus qui solet comitari prosperitatem, totus comprimitur. Qui enim ægrotat, medici nobilitatem nunquam cu-

σύγκρισιν αὐτῷ γνωρίσαι, ὅτι τὸ ὅραμα τοῦ βασιλέως, φησὶ, ἐγνώρισάς μοι. καὶ εὐθέως ἦλθε Δανιὴλ πρὸς Ἀριὼχ, ὃν κατέστησε, φησὶ, ὁ βασιλεὺς ἀπολέσαι τοὺς σοφοὺς Βαβυλῶνος, καὶ εἶπεν αὐτῷ· τοὺς σοφοὺς Βαβυλῶνος μὴ ἀπολέσῃς, εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπαγγελῶ τῷ βασιλεῖ τὴν σύγκρισιν τοῦ ὁράματος. ἔδραμε πρὸς αὐτὸν καί φησι· τοὺς σοφοὺς Βαβυλῶνος μὴ ἀπολέσῃς. τίς ἂν ἐφρόντισεν ἐκείνων; ὅρα τὸ φιλάνθρωπον, καὶ ἥμερον τοῦ προφήτου. ἀλλ' οὐκ ἂν ἠκούσθη, εἰ μὴ κἀκεῖνο προσέθηκεν, εἰσάγαγέ με, φησὶ, καὶ ἀπαγγελῶ τῷ βασιλεῖ τὴν σύγκρισιν τοῦ ὁράματος. τότε Ἀριὼχ, φησὶν, εἰσήγαγε τὸν Δανιὴλ ἐν σπουδῇ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ, εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ὅστις τὸ σύγκριμα ἀναγγελεῖ τῷ βασιλεῖ. ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας, φησὶν, εὕρηκα ἄνδρα. οὐκ ᾐσχύνθη τὸ γένος. ὅταν γὰρ ἀνάγκη ἐπίκειται μείζων, οὐδὲν τούτων ζητεῖται, ἀλλ' ὁ τῦφος ὁ ἐν ταῖς εὐημερίαις ἅπας καταστέλλεται. καὶ γὰρ ὁ νοσῶν οὐκ ἄν ποτε τοῦ ἰατροῦ τὴν εὐγένειαν περι-

ἐργάσαιτο, καὶ ἄλλως κινδυνεύων
ἄνθρωπος οὐκ ἂν πολυπραγμο-
νήσειεν, εἴγε εὐπατρίδης, εἴτε ὁ τυ-
χὼν εἴη ὁ μέλλων αὐτὸν ἐξαρπάζειν
τῶν κινδύνων, ἀλλ' ἓν μόνον ζητεῖ, τὴν
ἀπαλλαγήν. τίς οὐκ ἂν αἰσχυν-
θῇ; τίς οὐκ ἂν ἐρυθριάσῃ ὁρῶν
τοὺς μὲν ἐν τῇ πατρίδι πάντας ἀναι-
ρουμένους, τοὺς δὲ αἰχμαλώτους
φυσωμένους, καὶ μέγα φρονοῦν-
τας; οὐδέν. τούτων οὐδὲν αὐτὸς ἐνε-
νόησεν, ἀλλ' ἐν σπουδῇ κἀκεῖνος ἐ-
κάλεσε, καὶ οὗτος ἠρώτησεν, οὐκέτι
μετὰ τῆς αὐτῆς ἀπονοίας. ἐπειδὴ γὰρ ἠ-
λέγχθη διὰ τῆς πείρας ἀνόητα ὁ
βασιλεὺς ἐπιζητῶν, τί φησι; καὶ ἀ-
πεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν τῷ
Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ· εἰ
δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύ-
πνιον, ὃ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ.
μετὰ πλείονος τῆς ἐπιεικείας δια-
λέγεται. οὐκ εἶπεν, ἂν μὴ δυνη-
θῇς, τὰ αὐτὰ πείσῃ. τί οὖν ὁ Δα-
νιήλ; καὶ ἀπεκρίθη Δανιὴλ ἐνώπιον
τοῦ βασιλέως, καὶ εἶπε τὸ μυστήριον,
ὃ ὁ βασιλεὺς ἐπιζητεῖ, οὐκ ἔστι σο-
φῶν, μάγων, ἐπαοιδῶν, γαζαρη-
νῶν δύναμις ἀναγγεῖλαι τῷ βα-
σιλεῖ· ἀλλ' ἔστι θεὸς ἐν οὐρανῷ ἀπο-
καλύπτων μυστήρια, καὶ ἐγνώρισε

riosè inquiret ; & alio in
periculo existens homo non
satager an nobilis , an verò
de plebe sit ille qui eum pe-
riculis sit erepturus ; sed v-
num dumtaxat quæret, ni-
mirum liberationem. Quis
non pudore affectus fuisset?
Quis non erubuisset, cernens
omnes patriæ suæ sapientes
interfici; captiuos verò infla-
ri, & de se magnificè sentire?
Nequaquam. Horum nihil
ipse cogitauit: sed festinus &
ille vocauit, & hic interroga-
uit; non amplius cum eadem
vecordia. Postquam enim
Rex conuictus est per expe-
rientiam, se inutiliter, ac stul-
ta perquirere , quid ait? 26.
Et respondit Rex , & dixit
Danieli , cuius nomen Balta-
sar : potésne mihi renuntia-
re somnium quod vidi , &
coniecturam eius : Maiori
cum lenitate disserit. Non
dixit : Si non potueris , ea-
dem ac alij patieris. quid i-
gitur Daniel ? *Et respondit*
Daniel coram Rege , & di-
xit : mysterium quod Rex
perquirit, non est sapientum,
magorum , incantatorum, Ga-
zarenorum potestas annun-
tiare Regi. 28. *sed est Deus*
in cælo , qui reuelat myste-
ria : & nota fecit regi Na-

buchodonosori quæ oporteat fieri in nouißimis diebus. Obserua prudentiam Prophetæ. Non dixit statim; possum annuntiare tibi: sed quod ante omnia oportebat Regem scire, id dicit. *Mysterium*, inquit, *quod Rex interrogat; sapientes, magi, incantatores, Gazareni nequeunt indicare Regi. Est Deus in cælo qui reuelat mysteria.* Apologiam facit pro iis qui iniustè occisi fuerant, & ostendit non se esse qui rem explicet. Non ideo, inquit, dixi istud magorum non esse, vt me ipsum illis clariorem facerem; sed vt discas, quòd neque ego id secundùm humanam naturam profero. *At est Deus in cælo.* Non illic Deum concludit; sed tamquam ad barbarum interim loquitur, eúmque à terra abducit: non sicut Dij vestri qui circa terram volutantur. *Et nota fecit regi Nabuchodonosori quæ futura sint in vltimis temporibus.* Vide, per ænigmata edisserit; & totam summam visionis in exordio comprehendit; Regisque mentem recreat, dum nihil graue, neque molestum effatur. *Somnium tuum,*

τῷ βασιλεῖ ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἀπ' ἐσχάτων τῶν ἡμερῶν. ὅρα σύνεσιν τοῦ προφήτου. οὐκ εἶπεν εὐθέως, δύναμαι ἀπαγγεῖλαί σοι· ἀλλ' ὃ πρὸ πάντων ἔδει μαθεῖν τὸν βασιλέα, τοῦτο λέγει. τὸ μυστήριον, φησὶ, ὃ ὁ βασιλεὺς ἐπερωτᾷ, οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, γαζαρηνῶν δύναμις ἀναγγεῖλαι τῷ βασιλεῖ· ἔστι θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια. ἀπολογεῖται ὑπὲρ τῶν κακῶς ἀναιρεθέντων, δεικνὺς οὐκ αὐτὸν ὄντα τὸν λέγοντα. οὐ διὰ τοῦτο, φησὶ, εἶπον, ὅτι οὐκ ἔστι μάγων τοῦτο, ἵνα ἐμαυτὸν ἐκείνων λαμπρότερον δείξω, ἀλλ' ἵνα μάθῃς, ὅτι οὐδὲ ἐγὼ κατὰ ἀνθρωπίνην λέγω φύσιν. ἀλλ' ἔστι θεὸς ἐν οὐρανῷ. οὐκ ἐκεῖ συγκλείων αὐτὸν, ἀλλ' ὡς πρὸς βάρβαρον τέως διαλεγόμενος, καὶ τῆς γῆς ἀπάγων, οὐχ ὡς οἱ ὑμέτεροι οἱ περὶ γῆν στρεφόμενοι. καὶ ἐγνώρισε τῷ βασιλεῖ ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν χρόνων. ὅρα, δι' αἰνιγμάτων λέγει, καὶ τὸ πᾶν κεφάλαιον τῆς ὄψεως περιλαμβάνει ἐν τοῖς προοιμίοις, καὶ ἀνίησιν αὐτοῦ τὴν διάνοιαν, οὐδὲν φορτικὸν, οὐδὲ ἐπαχθὲς λέγων. τὸ ἐνύπνιόν σου, φη-

σοί, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου. τουτέστιν· οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν, τί δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ ὁ ἀποκαλύπτων μυστήρια, ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι. κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν διαλέγεται, ὡς ὑπὲρ κεφαλῆς τῶν ὀνείρων ἱσταμένων, ἢ ὡς ἐκεῖ τοῦ λογιστικοῦ ὄντος, ἢ τῆς κεφαλῆς, τῶν ὀφθαλμῶν, ἵνα εἴπῃ, σὺ παρέσχες αἰτίαν. οὐ δὲ ἁπλῶς εἶπεν, ὅτι ὁ θεός σοι ἔφηνεν, ἀλλὰ διελογίζου τί δεῖ γενέσθαι μετὰ ταῦτα. ἐπειδὴ γὰρ τῆς οἰκουμένης ἐκράτησεν, ἐλογίζετο ἆρα εἰ εἰς παῖδας αὐτοὺς παραπέμψει τὴν βασιλείαν, ἢ τελευτήσει. εἴωθε γάρ πως τὸ μέγεθος τῆς ἀρχῆς, καὶ τῆς φύσεως ἡμᾶς εἰς λήθην ἄγειν, ὅτι θνητός ἐστι. εἰκὸς οὖν αὐτὸν εἰς τὸ πέλαγος ἐμπεσόντα τῶν οἰκείων κατορθωμάτων, μὴ σφόδρα πιστεύειν ὅτι ἀποθανεῖται. τοῦτο γοῦν καὶ ἕτερος ἔπαθε βασιλεύς· διὸ καί τις ἔλεγε πρὸς αὐτόν, σὺ δὲ ἄνθρωπος εἶ, οὐ θεός, πρὸς τὸν Τύριον λέγων. καὶ ὅρα πῶς χαρίεις

inquit, *& visiones capitis tui in cubili tuo. Hoc est:*
29. *cogitationes tuæ in cubili tuo ascenderunt, quid oporteat fieri post hæc. Et qui reuelat mysteria, indicauit tibi quæ oporteat fieri.* Ex vulgi opinione loquitur, quasi somnia super caput stent; seu quòd ibi sit ratiocinandi vis; seu per caput designat oculos: vt dicat; tu præbuisti caussam. Nec simpliciter dixit; Deus tibi manifestauit: sed, cogitabas quid futurum esset post hæc. Quia enim orbem terrarum deuicerat, reputabat secum, num ad liberos ipse regnum esset transmissurus, siue an moriturus esset. Nam solet quodammodo magnitudo imperij, etiam nos ducere in obliuionem naturæ, & quòd mortalis ea sit. Verisimile igitur est illum, cùm incidisset in pelagus ac infinitam multitudinem fortiter ac præclarè à se gestorum, non admodum credidisse moriturum esse se. Idem quoque passus est alius rex. Ideóque & quidam ad ipsum dicebat: *Tu verò homo es, non Deus:* ad Tyrium nempe loquens. Et vide quomodo absque

Homer. Il 2.20.

Ezech. 28.2.

vulnere ipſum reprehendit. Non enim dixit ; hoc ſuſpicatus es ac ſperaſti : ſed, *Quid oportet fieri poſt hæc.* Iſta mente agitabas, ac tecum reputabas : quidnam ſcilicet futurum eſſet. *In cubili tuo.* Cùm nullus eſſet qui obturbaret ; ſed animus in quiete verſaretur : quando præcipuè cogitationum turba nos inuadit, quiete atque otio abutens. Ideo multis mos eſt tempus illud in oratione conſumere : quia ſcilicet tunc animus otiatur ; & magnum capimus detrimentum, ſi tunc inertiæ nos dederimus. *Et qui reuelat myſteria indicauit tibi quæ oporteat fieri.* Aſpice, iterum iam Dei meminit. Nec id vulgariter. Sed illic quidem ait : *Qui eſt in cælo :* hic autem : *qui reuelat myſteria.* 30. *& mihi autem non in ſapientia quæ ſit in me præ omnibus viuentibus, myſterium hoc reuelatum eſt : ſed vt coniecturam Regi indicem, & vt cognoſcas cogitationes cordis tui.* Tantum non dicens : origo inuentionis non eſt à me : ſed neque in eo ipſo quòd rem præter alios didicerim, ceteris præfe-

πληγῆς αὐτὸν ἐλέγχει. οὐ γὰρ εἶπεν, ὅτι τοῦτο ὑπώπτευσας, ἀλλὰ τί δεῖ γενέσθαι μετὰ ταῦτα. ταῦτα ἐνενόεις καὶ ἐλογίζου τί ἄρα ἔσται. ἐπὶ τῆς κοίτης σου. ὅτε οὐδεὶς ὁ παρενοχλῶν, ἀλλ' ἐν ἡσυχίᾳ ἦν ἡ ψυχή. ὅτε μάλιστα τῶν λογισμῶν ὁ ὄχλος ἡμῖν ἐπεισέρχεται, τῇ τε ἡσυχίᾳ καὶ τῇ ἀργίᾳ ἀποχρώμενος. διὰ τοῦτο τοῖς πολλοῖς ἔθος τὸν καιρὸν ἐκεῖνον εἰς εὐχὴν ἀναλίσκειν, ἅτε καὶ σχολαζούσης τῆς ψυχῆς, καὶ μεγάλης οὔσης τῆς βλάβης ἐὰν ῥαθυμήσομεν. καὶ ὁ ἀποκαλύπτων μυστήρια ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι. ὅρα, δεύτερον ἤδη τοῦ θεοῦ μέμνηται, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλ' ἐκεῖ μὲν φησι, ὁ ὢν ἐν τῷ οὐρανῷ, ἐνταῦθα δέ, ὁ ἀποκαλύπτων μυστήρια. καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας, τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, καὶ ἵνα γνῷς τοὺς διαλογισμοὺς τῆς καρδίας σου. μονονουχὶ λέγων, ἡ ἀρχὴ τῆς εὑρέσεως οὐ παρ' ἐμοῦ, ἀλλ' οὐδὲ αὐτὸ τοῦτο παρὰ *f. ἑτέροις
* ἑτέρου μαθεῖν πλέον * ἔχων *f. ἔχω

τῶν ἄλλων. οὐδὲ γὰρ ἐπειδὴ σοφὸν εἶδεν τοῦτο ἐποίησεν. εἰ γὰρ καὶ τούτων εἰρημένων παρ' αὐτοῦ, ὡς θεὸν αὐτὸν προσεκύνησε· τί εἰ μὴ τοῦτο ἦν; ἀλλὰ διὰ σέ, φησίν. οὐ σύ μοι χάριν ἔχειν ὀφείλεις, ἀλλ' ἐγώ σοι. ἵνα γὰρ σὺ μάθῃς, ἔμαθον ἐγώ. ὅρα πῶς αὐτὸν οἰκειοῖ πρὸς τὸν θεόν, καὶ τὸ μέλλον θαῦμα περὶ αὐτὸν ἔσεσθαι, καὶ τὸ φίλτρον προλαβὼν ἀνατίθησι τῷ θεῷ. ὁ γὰρ μαθὼν ὅτι τιμῶν αὐτὸν ὁ θεὸς τοῦτο ἐποίησεν, εὔδηλον ὅτι ᾠκειώθη ἂν αὐτῷ. σὲ μᾶλλον ἐτίμησε, φησὶ, ἢ ἐμέ. εἶδες πῶς ἀφιλότιμος ὁ νέος, πῶς οὐ πρότερον ἅπτεται τῶν ῥημάτων, ἕως ἂν ἀποστήσῃ αὐτὸν τὸ μεγάλην περὶ αὐτοῦ δόξαν ἔχειν; πῶς οὖν οὗτος ἐθήρα δόξαν, ὁ καὶ διδομένην αὐτὴν ἀποκρουόμενος; καὶ οὐκ εἶπεν, ἐπειδὴ σέβω τὸν θεόν, ἐπειδὴ θεραπεύω αὐτὸν μᾶλλον τῶν ἄλλων, ἀπεκαλύφθη ἐμοὶ, ἀλλ' ὑπὲρ τοῦ σε μαθεῖν ὃ χρησιμώτατον ἦν. ἐκεῖνο γὰρ καὶ μὴ εἰπόντος, ἠκολούθει

rendus ſum. Non enim quia me ſapientem eſſe agnouit, id Deus fecit. Si enim poſtquam iſta dixiſſet Daniel, ipſum vt Deum adorauit Rex: quid ſi id prolocutus non fuiſſet? Sed propter te, inquit. Tu mihi gratias habere non debes; ſed ego tibi: vt enim tu intelligeres, ego didici. Cerne vt illum conciliet Deo; & vt futurum circa eum miraculum, item amorem vehementem erga eum, per anticipationem Deo aſſignet. Qui enim edoctus eſt, quòd Deus in honorem ipſius id egit, proculdubio illi conciliatus eſt. Te magis, inquit, honorauit, quàm me. Vides quàm ambitioſus non ſit iuuenis; vtque non antè ſermonem aggrediatur, quàm Regem abduxerit à magna quam de ipſo habere potuiſſet opinione? Quomodo igitur gloriam venaretur Daniel, qui etiam datam repellit? Et non dixit: quoniam Deum veneror, quoniam illi plus quàm ceteri ſeruio; mihi reuelatio facta eſt: ſed; vt tu diſceres quod vtiliſſimum erat. Illud enim, etiam ipſo non dicente, in mentem

auditorum veniret. 31. *Tu Rex videbas, & ecce imago vna, imago illa magna, & aspectus illius sublimis stans ante faciem tuam, & intuitus eius terribilis.* 32. *Imago cuius caput ex auro puro: manus ipsius & pectus, & brachia eius argentea: venter illius & femora ærea.* 33. *tibiæ ferreæ: pedes, pars quidem quædam ferrea, pars autem quædam testacea.* Vide quali visione dignatus fuerit Nabuchodonosor. Quandoquidem enim in gentes Euangelij præconium spargendum erat; visio multò antè gentilem traditionem inhibet. Et in terra gentili somnium videtur, templo euerso, legalibus sublatis. Verumtamen per Hebræos explicatur. Etsi enim in gentiles disseminandum esset Euangelium: at per Hebræos viros, nempe Apostolos id futurum erat. Hoc & in Cornelio contigit. Præcedunt gentes, non autem sequuntur. Ita & hîc, imaginem primus vidit Nabuchodonosor, notitiam verò primus accepit Daniel. Et vt cognoscas quòd & primi & posteriores sunt Iudæi. Primi quippe bona acce-

τῇ διανοίᾳ ἀκουόντων. σὺ βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία, ἡ εἰκὼν ἐκείνη μεγάλη, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερὴς ἑστῶσα πρὸ προσώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά. εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ, αἱ χεῖρες αὐτῆς καὶ τὸ στῆθος, καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ. ἡ κοιλία αὐτῆς καὶ οἱ μηροὶ χαλκοῖ. αἱ κνῆμαι σιδηραί. οἱ πόδες μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον. ὅρα ποίας ὄψεως ἠξιώθη ναβουχοδονόσορ. ἐπειδὴ γὰρ ἔμελλεν εἰς ἔθνη τὸ κήρυγμα διαδίδοσθαι, προδιακρούεται τοῦτο ἄνωθεν τὴν ἐθνικὴν παράδοσιν· καὶ ἐν ἐθνικῇ τοῦτο ὁρᾶται, τοῦ ναοῦ καταλυθέντος, τῶν νομικῶν ἀνῃρημένων. πλὴν διὰ ἑβραίων ἑρμηνεύεται. εἰ γὰρ καὶ εἰς ἐθνικοὺς ἔμελλε διαδίδοσθαι, ἀλλὰ διὰ ἑβραίων ἀνδρῶν τῶν ἀποστόλων. τοῦτο καὶ ἐπὶ τοῦ κορνηλίου γέγονε. προλαμβάνει τὰ ἔθνη, καὶ οὐκ ἀκολουθεῖ. οὕτω καὶ ἐνταῦθα τὴν εἰκόνα πρῶτος εἶδεν ὁ ναβουχοδονόσορ, τὴν δὲ γνῶσιν πρῶτος εἶδε δανιήλ. καὶ ἵν' εἰδῇς ὅτι καὶ πρῶτοι, καὶ ὕστεροι οἱ ἰουδαῖοι. πρῶτοι τὰ ἀγαθὰ

ἔλα-

ἔλαβον, ἀλλ' οὐκ ᾔδεισαν ὅπερ ἔλαβον, ἵνα ἴσον γένηται. οὕτω κἀκεῖ πρὸ τοῦ βαπτίσματος κατηξιώθησαν πνεύματος. οὕτω καὶ ἐπὶ ἀβραὰμ πρώτη ἡ πληθὺς ἐκείνη τῶν ἐθνῶν, ὑστέρα δὲ ἡ περιτομή· ἀλλὰ διὰ περιτομῆς ἡ σωτηρία. εἶπον ταῦτα μυριάκις οἱ προφῆται τοῖς ἰουδαίοις, καὶ εἰ μὴ πολλὴ παρ' ὑμῖν ἡ νωθεία, κἂν ἐξεκάλυψά που καὶ πότε. ἐπειδὴ δὲ οὐ προσεῖχον, μεταβαίνει εἰς τὰ ἔθνη λοιπόν. ἀκούοντες ἐκεῖνοι τούτων τῶν ῥημάτων, κατέπτυον, ὁ ἐθνικὸς ἀκούσας προσεκύνησεν. ὅρα καὶ τὰ ἐπὶ χριστοῦ διατυπούμενα. ἡ * χαμανοῖτις προσκυνεῖ, οὗτοι οὐ ποιοῦσι τοῦτο. ἀλλ' ἐλαύνουσιν. οὕτω καὶ ἐνταῦθα ἐκεῖνοι ἔδησαν τὸν ἱερεμίαν, οὗτος προσεκύνησε τὸν δανιήλ. πάλιν ἰουδαῖοι τοὺς ἀποστόλους ἀπελαύνουσιν, οἱ ἕλληνες λέγουσιν, ὅτι οἱ θεοὶ κατέβησαν πρὸς ἡμᾶς. ὅταν γὰρ ἡ κρίσις χωρὶς πάθους γίνεται, ἀδέκαστός ἐστι, καὶ καθαρά. ὁρᾷς τοὺς τύπους λάμποντας; ἐν βαβυλῶνι τὰ περὶ χριστοῦ ἀκούεται, καὶ ἀκροατὴς ὁ βάρβαρος γίνεται, ἵνα μάθῃς ὅτι οὐ μόνον ἐθνι-

*l. χα-νανῖτις

perant, sed nesciebant quid accepissent, vt par vtrinque fieret. Ita & illic ante baptismum spiritu digna- *Act.* 10.
ti sunt. Sic & in Abrahamo prima fuit illa multitudo gentium, posterior verò circumcisio: sed per circumcisionem salus. Hæc millies Prophetæ Iudæis dixerunt, & nisi multa apud vos esset tarditas, etiam vbi & quando aperuissem. Postquam autem non attenderunt, transit ad gentes deinceps. Hæc verba Iudæi audientes, despuebant: Gentilis cùm audisset, adorauit. Aduerte ea etiam quæ sub Christo contigerunt describi per figuras. Chananæa adorat: Iudæi contra, Dominum scilicet expellunt. Ita & hîc, Iudæi Hieremiam in vincula coniecerunt: Nabuchodonosor adorauit Danielem. Rursus Iudæi Apostolos eiiciunt: Græci autem dicunt: *Dij* *Act.* 14. 11.
descenderunt ad nos. Cùm enim iudicium sine affectu fertur, incorruptum est ac sincerum. Vides typos coruscare? In Babylone quæ ad Christum spectant audiuntur, & Barbarus auditor fit, vt intelligas non modò gen-

tiles, ſed & barbaros iſta eſſe audituros; quemadmodum Paulus ait: Rom. 1. 14. *Debitor ſum vt Euangelium prædicem Græcis ac Barbaris*. Et ne deſperes, ſpem delineat ac ſubiicit. Quod enim aberat impedimentum? Faſtus regalis; indoles ipſa barbarica; loquentis vilitas, erat enim captiuus; ætas, erat iuuenis; religio aliena. Neque Rex dixit: te tua præuidere oportuit, vrbis tuæ videlicet captiuitatem: illa ignoraſti, & hæc prædicis. Ingrati enim ita loqui ſolent: oportebat Chriſtum ſeipſum ſuſcitaſſe. Quod dictum fuit, euerſio erat regni Babylonici, & conſummatio totius orbis. Et credidit Nabuchodonoſor. Neque enim, niſi crediſſet, ſacrificaſſet Danieli. Credit Nabuchodonoſor; quidam autem non credunt. Propter hoc multæ prædictiones fiebant. Si illæ euentum non habuerunt, neque his crede. Ne autem diutius ſermonem obſcurum faciamus, age eum vobis interpretemur. Quinque vidit materias, aurum, argentum, æs, ferrum, teſtam. Deinde tota imago

κοὶ, ἀλλὰ καὶ βάρβαροι ταῦτα ἀκούσονται, ὥσπερ ὁ Παῦλός φησι, ὀφειλέτης εἰμὶ εὐαγγελίσασθαι Ἕλλησί τε, καὶ βαρβάροις. καὶ ἵνα μὴ ἀπογνῷς, τὰς ἐλπίδας ὑποτυποῦται. τί γὰρ οὐκ ἦν κώλυμα; ὁ τῦφος ὁ βασιλικός, ἡ φύσις αὐτὴ ἡ βαρβαρική, τὸ εὐτελὲς τοῦ λέγοντος, αἰχμάλωτος γὰρ ἦν· ἡ ἡλικία, νέος γάρ· τὸ τῆς θρησκείας ἀλλότριον. οὐκ εἶπεν, ἔδει σε προϊδεῖν τὰ σά, τὴν αἰχμαλωσίαν τῆς πόλεως. ἐκεῖνα ἠγνόησας καὶ ταῦτα προλέγεις; ἅπερ λέγουσιν οἱ ἀγνώμονες· ἔδει τὸν Χριστὸν ἀναστῆσαι ἑαυτόν. αὐτὸ τὸ λεγόμενον, κατάλυσις τῆς βασιλείας αὐτοῦ ἦν, καὶ τῆς οἰκουμένης ἁπάσης συντέλεια. καὶ ἐπίστευσε Ναβουχοδονόσορ· οὐ γὰρ ἂν εἰ μὴ ἐπίστευσεν, ἔθυσε τῷ Δανιήλ. πιστεύει Ναβουχοδονόσορ, τινὲς δὲ ἀπιστοῦσι τοῦτο. διὰ τοῦτο πολλαὶ προρρήσεις ἐγίνοντο. εἰ μὴ ἐγένοντο ἐκεῖναι, μηδὲ ταύταις πίστευε. ἵνα δὲ μὴ ἐπὶ πλέον ἀσαφῆ ποιῶ τὸν λόγον, φέρε τοῦτον ὑμῖν ἑρμηνεύσωμεν. πέντε εἶδεν ὕλας, χρυσόν, ἄργυρον, χαλκόν, σίδηρον, ὄστρακον. εἶτα ἡ εἰκὼν πα-

σα ὁ χρόνος ἐστὶ, καὶ ἡ ἀκολουθία τοῦ χρόνου. καὶ καλῶς εἶπεν, εἰκών. εἰκόνι γὰρ ἔοικε τὰ ἡμέτερα, εἰκόνι ἀψύχῳ. καὶ καλῶς εἰκὼν ἀπὸ χρυσοῦ. καθάπερ γὰρ ὁ χρυσὸς, κἂν λαμπρὸς ᾖ, ἀπὸ γῆς ἐστιν· οὕτω καὶ ἡ φύσις ἡ ἡμέτερα, καὶ τὰ πράγματα. καὶ ὅρα ὅτι κόνις γίνεται ὅπερ ἦν πρὸ τούτου. καίτοι τοῦτο λίθος οὐκ ἂν ἐργάσαιτο. συντρίψαι μὲν δύναται λίθος, οὐσίαν δὲ μεταβαλεῖν οὐ δύναται. ἀλλὰ τοῦτο γέγονεν. εἶδες τὸ μυστήριον τῆς ἀναστάσεως. καὶ γὰρ τῶν σωμάτων ἡμῶν πρότερον στοιχειωθέντων, καὶ πρὸς τὴν ἀρχαίαν ἐπανελθόντων φύσιν, τὴν γῆν λέγω, τότε ἡ φθορὰ ἐπεισέρχεται. ταῦτα δὲ πάντα ὁ λίθος ποιεῖ. ὥστε ὅταν ἴδῃς τὴν εἰκόνα ἐκ διαφόρων συγκειμένην ὑλῶν, καὶ τὴν μὲν κεφαλὴν αὐτῆς λαμπρὰν, τὸ δὲ στῆθος φαυλότερον, καὶ τὴν γαστέρα ἀτιμοτέραν, καὶ τὰς κνήμας εὐτελεστέρας, τὴν διαφορὰν ταύτην περὶ τὴν ὄψιν νόμιζε. μιᾶς γὰρ οὐσίας τὰ πάντα· καὶ μαρτυρεῖ τὸ τέλος, εἰς κόνιν ἅπαντα διαλῦον. οὐ μικρὰ αὕτη φιλοσοφία. ἐννόησον

tempus eſt & temporis conſequentia. Et rectè dixit: *Imago*. Imagini ſiquidem ſimiles ſunt res noſtræ, imagini inanimatæ. Et bene imago ex auro. Sicut enim aurum, etiamſi ſplendidum ſit, tamen è terra oritur: ſic etiam natura noſtra, atque res humanæ. Et vide vt puluis fiat, quod ſcilicet erat antea. Atqui id lapis numquam fecerit. Contere re quidem poteſt lapis; ſubſtantiam verò conuertere non poteſt. Hoc tamen contigit. Myſterium reſurrectionis vides. Cùm enim corpora noſtra in elementa reſoluuntur, & ad antiquam redeunt naturam, terram dico; tunc aduenit corruptio. Hæc autem omnia lapis efficit. Itaque cùm videris imaginem ex diuerſis materiis conſtantem, & illius quidem caput ſplendidum, pectus verò deterius, & ventrem ignobiliorem, & tibias viliores; diuerſitatem hanc in ſolo aſpectu ſitam eſſe exiſtima. Vnius quippe eiuſdémque ſubſtantiæ omnia ſunt; idque teſtatur finis, qui in puluerem cuncta diſſoluit. Non parua eſt iſta philoſophia. Animum

aduerte ad hanc philosophiam: & à rebus quæ ante oculos obuersantur, ab Imperatore deducens Regem, deinde Præfectum qui post Regem est & æri respondet, item eos qui sequuntur, quíque vt fictiles ac ferrei repræsentantur. Verùm si ad sepulcrum veneris; etiam si sexcenties ibi quoque vim facere videantur, dum auream vrnam adornant; aspicies tamen illorum eandem esse naturam. Iterum

Paulus. mihi considera diuitem illum & vinctum; item illum

Iobus. diuitem & ad testam vsque pauperem: atque vniuersa puluerem esse conspicies. Verùm obserua. Non priùs cuncta puluis esse visa sunt, quàm lapis decidisset. 34. *Videbas donec abscissus est lapis de monte, sine manibus: & percußit imaginem, & pedes ferreos ac testaceos: & comminuit eos in finem.* 35. *Tunc comminuta sunt omnino testa, ferrum, æs, argentum, aurum: & facta sunt quasi puluis de area æstiua: & extulit ea multitudo venti; & locus non est inuentus illis.* Non enim earum rerum natura cognita

γὰρ τὴν φιλοσοφίαν ταύτην, καὶ ἀπὸ τῶν παρόντων πραγμάτων, ἀπὸ τοῦ κρατοῦντος καταγαγὼν τὸν βασιλεύοντα, τὸν ὕπαρχον, τὸν μετ' ἐκεῖνον, τὸν χαλκὸν, τοὺς μετὰ ταῦτα ὀστρακίνους, σιδηροῦς. ἀλλ' ἐὰν εἰς τὴν σορὸν ἔλθῃς, κἂν μυριάκις κἀκεῖ βιάζωνται λάρνακα χρυσῆν κατασκευάζοντες, ὄψει τὴν φύσιν αὐτήν. πάλιν νόει μοι τὸν πλούσιον, τὸν δέσμιον, ἐκεῖνον τὸν πλούσιον τὸν πένητα μέχρι τοῦ ὀστράκου, καὶ ὄψει πάντα κόνιν. ἀλλ' ὅρα, οὐ πρότερον ἐφάνη πάντα κόνις ὄντα, ἕως ὁ λίθος κατέπεσεν. ἐθεώρεις ἕως ἀπετμήθη λίθος ἀπὸ τοῦ ὄρους ἄνευ χειρῶν, καὶ ἐπάταξεν τὴν εἰκόνα, ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς, ἐπὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. τότε ἐλεπτύνθη εἰς ἅπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκὸς, καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς. καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. οὐ γὰρ δὴ πρότερον ἐφάνη τῶν πραγμάτων ἡ

φύσις, ἕως ὁ ἥλιος τῆς δικαιοσύνης ἀνέτειλεν, ὅτι ὁ χρυσὸς οὐ χρυσός. ὅρα δὲ καὶ ἐν αὐτῷ τούτῳ οὐ μετὰ τὴν συντριβήν, ἀλλ᾽ ἔτι ἑστώτων αὐτῶν, οὐδὲν δὲ τοῦτο ἐκείνου τιμιώτερον ὄν. ὅρα καὶ τῇ ὄψει, καὶ τῷ χρόνῳ, καὶ τῇ ποιότητι ταῦτα ἐκείνων βελτίω. διὰ γὰρ τοῦτο καὶ χρυσίον ἀπὸ γῆς ἐποίησεν ὁ θεός, ἵνα μηδὲν μέγα περὶ αὐτοῦ φαντασθῇς. τίνος δ᾽ ἕνεκεν τὴν αὐτοῦ βασιλείαν καλεῖ χρυσῆν, τὴν δὲ τῶν περσῶν ἀργυρᾶν, καὶ τὴν τῶν μακεδόνων χαλκῆν, καὶ τὴν τῶν ῥωμαίων σιδηρᾶν καὶ ὀστρακίνην; ὅρα καταλλήλους τὰς ὕλας. ὁ γὰρ χρυσὸς πλούτου μέν ἐστι ἐμφαντικόν, ἀσθενὲς δέ· καὶ πρὸς ἀπάτην, καὶ πρὸς κόσμον μᾶλλον καὶ φιλοτιμίαν ἐπιτήδειος. οὕτω καὶ ἐκείνη ἡ βασιλεία ἡ τοῦ βαρβάρου. πολὺ παρ᾽ αὐτῷ τὸ χρυσίον ἦν, καὶ τοῖς βαρβάροις. ἐπειδὴ καὶ ἐκεῖ λέγονται εἶναι ὕλαι μεταλλικαί. καὶ γὰρ παρὰ τῶν σηρῶν πολὺς ὁ πλοῦτος, ἀλλ᾽ ἄχρηστος. κεφαλὴν δὲ ἐπέχει, ἐπειδὴ πρώτη ἐφάνη. ἡ δὲ περσῶν οὐχ οὕτως εὔπορος, ὥσπερ οὖν οὐδὲ

fuit, donec sol iustitiæ est exortus: quia aurum non aurum est. Vide autem & in hac ipsa re, non post contritionem, sed stantibus adhuc omnibus, nullam materiam aliâ esse præstantiorem. Vide, & aspectu & tempore, & qualitate tantùm has illis esse meliores. Ideo enim Deus aurum quoque de terra fecit, vt nihil magnum de illo imagineris. Quare autem regnum Nabuchodonosoris vocat aureum, Persarum autem argenteum, Macedonum æreum, Romanorum ferreum atque testaceum? Aspice dispositas conuenienter materias. Nam aurum diuitias equidem repræsentat; inualidum est autem, & ad fraudem, atque ad ornatum ac magnificentiam magis accommodatum. Sic & regnum Babylonium barbari illius. Multum penes ipsum & apud barbaros erat auri. Ibi namque feruntur esse metalla. Etenim à Seribus diuitiæ magnæ portantur, sed inutiles. Caput autem occupat; quia regnum illud fuit primum. Persarum verò imperium non adeò opulentum fuit: sicut nec

Macedonum : at Romanorum vtilius ac fortius ; tempore quidem posterius, quare & pedum locum obtinet. Porro sunt huius regni quædam infirma, & quædam robustiora. Talis est hominum
Matth. 24. 12. monstrosa varietas. *Et cùm multiplicata fuerit*, inquit, *iniquitas, refrigescet charitas multorum*. Charitate autem frigefactâ, necesse est inimicitias & bella oriri : cúmque insidiatores ac hostes sint, homines necesse est eodem modo inter se congredi, quo testa cum ferro. Sicut enim hæc naturâ differunt, nec inter se coniungentur vmquam : ita & illa. Hoc & Prophetæ & Apostoli asserunt. Quare & consummatio deinceps. Sicut enim temporibus Noæ, postquam malitia inualuit, diluuium contigit : ita & nunc. Et sicut corpus ægrum, cùm ad delicias venerit, tunc perit : sic & mundus. Si enim quando fuerint quinque iusti in ciuitate, illi parcitur : multò magis & mundo, cùm in eo sunt iusti secundùm proportionem. 35. *Et lapis qui percussit imaginem, factus est in montem magnum ; & impleuit vni-*

μακεδόνων, ἡ δὲ ῥωμαίων χρησιμωτέρα τε καὶ ἰσχυροτέρα, ὑστέρα μὲν τοῖς χρόνοις, διὸ καὶ ποδῶν τάξιν ἐπέχει. ἔστι δὲ αὐτῆς τὰ μὲν ἀσθενῆ, τὰ δὲ ἰσχυρότερα. τοιοῦτο δὲ ἀλλόκοτον τῶν ἀνθρώπων. καὶ ὅταν πληθυνθῇ, φησίν, ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. ἀγάπης δὲ ψυχομένης, ἀνάγκη ἔχθρας εἶναι καὶ πολέμους· τῶν ἐπιβουλευόντων ὄντων καὶ τῶν ἐχθρῶν, ἀνάγκη συνεῖναι τοὺς ἀνθρώπους ἀλλήλοις ὥσπερ τῷ σιδήρῳ τὸ ὄστρακον. καθάπερ γὰρ ἐκεῖνα τῇ φύσει διέστηκεν, καὶ οὐκ ἂν ἀλλήλοις ὁμιλήσειεν, οὕτω καὶ ταῦτα. τοῦτο καὶ οἱ προφῆται, καὶ οἱ ἀπόστολοι λέγουσι. διὸ καὶ συντέλεια λοιπόν. ὥσπερ γὰρ ἐπὶ τοῦ νῶε τῆς κακίας ἐπιταθείσης γέγονεν ὁ κατακλυσμός, οὕτω καὶ νῦν. καὶ καθάπερ σῶμα κάμνον ὅταν πρὸς τρυφὴν ἔλθῃ, τότε ἀπόλλυται, οὕτω καὶ ὁ κόσμος. Εἰ γὰρ ὅταν ὦσι πέντε δίκαιοι ἐν πόλει φείδεται τῆς πόλεως, πολλῷ μᾶλλον καὶ ἐπὶ τοῦ κόσμου ὅταν ὦσι καὶ κατὰ ἀναλογίαν. καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγενήθη εἰς ὄρος μέγα, καὶ ἐπλήρωσεν

πᾶσαν τὴν γῆν. λίθος, φησὶν, ἔπεσεν ἐξ ὄρους. ὅρα πότε. οὐχ ἡνίκα ἡ χρυσῆ, οὐδὲ ἡ ἀργυρέα, οὐδὲ ἡ χαλκῆ, ἀλλὰ ἡνίκα ὁ σίδηρος ἐφάνη, ἔπεσεν ἀπὸ ὄρους φησί· τὸ ὑψηλὸν ἐμφαίνων ἀπὸ ὄρους εἶπεν. ἀλλ᾽ ἔμπροσθεν τοῦ βασιλέως, ἔδειξεν ὅτι περὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐστίν. ὁ δὲ λίθος ἀπὸ ὄρους ἔπεσεν, φησί. τὸ ἑκούσιον δείκνυσι, καὶ ὡς οὐκ ἀναγκασθείς. οὐ γὰρ εἶπεν, ἐρρίφη, ἀλλ᾽ ἔπεσεν ἀπὸ τοῦ ὄρους. καὶ τὸ ἀπροσδόκητον, καὶ μηδενὸς εἰδότος. καὶ ἐτμήθη ἄνευ χειρῶν. τὴν κατὰ σάρκα γέννησιν αἰνίττεται. εἶδεν ὄρος λέγειν καὶ γυναῖκας, ὡς ὅταν λέγῃ, ἐκ τοῦ βοθύνου οὗ ὠρύχθητε. καὶ πολλαχοῦ δὲ λίθος λέγεται διὰ τὸ ἑδραῖον. ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ, λικμήσει αὐτὸν, φησί, ὥσπερ κονιορτὸν ἀπὸ ἅλωνος θερινῆς. τὸ ἀνυπόστατον ἐνταῦθα δηλῶν. καὶ ἐξῆρεν αὐτὰ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. οὕτω γὰρ λύονται αἱ βασιλεῖαι ὡς μηδὲ

uerſam terram. Lapis, inquit, *cecidit de monte.* Vide quando. Non cùm quod aureum erat, neque cùm quod argenteum, neque cùm quod æreum: ſed cùm ferrum apparuit, *Cecidit*, inquit, *de monte.* Altitudinem indicans *de monte* dixit. Sed coram Rege, oſtendit de rebus humanis ſomnium eſſe. *Lapis autem,* inquit, *cecidit de monte.* Arbitrij libertatem declarat, & quòd vi adactus non ſit. Neque enim dixit; proiectus eſt: ſed *cecidit de monte.* Rem inopinanter ac nemine ſciente factam fuiſſe deſignat. *Et abſciſſus eſt ſine manibus.* Generationem ſecundùm carnem innuit. Solet Scriptura montis nomine etiam mulieres donare: quemadmodum cùm dixit:
Ex fouea vnde effoßi eſtis. Iſ. 51. 1.
Et ſæpe Chriſtus lapidis nomen accipit, propter ſtabilitatem. *Super quem autem* Luc. 20.
ceciderit, comminuet illum, 18.
inquit, *quaſi puluerem de area æſtiua.* Hîc declarat regna non poſſe ſubſiſtere. *Et extulit ea multitudo venti, & locus non eſt inuentus illis.* Ita namque euertuntur regna, quaſi ſi numquam

fuerint. *Et factus est lapis in montem magnum.* Vide vt Apostolorum verba totum orbem terrarum repleuerint. Igitur lapis ille aliquando dicitur mons, aliquando autem angularis, aliquando verò fundamentum; vt edocearis eum omnia implere. Mons ideo, quia omnia continet: angularis ideo, quia vniuersa in ipso constituta sunt. Ideo fundamentum, & vitis radix. *Ego* enim *sum vitis: vos*
Ioan. 15. 5. *palmites. 36. hoc est somnium*, inquit, *& eius coniecturam dicemus coram Rege. 37. tu es rex regum. Tibi Deus cœli, regnum forte & validum & honoratum dedit 38. in omni loco, vbi habitant filij hominum: & bestias agri, & volucres cœli dedit in manu tua: & constituit te dominum omnium.* Postquam Dei potentiam demonstrauit, tunc cum fiducia præconium etiam veritatis ipsi prædicat. Et vide quanta cum assentatione, quantóque cum honore sermonem immittat. *Tu es*, inquit, *rex regum. Tibi Deus cœli regnum forte & validum, & honoratum dedit in omni loco,*

γινόμεναι. καὶ ἐγένετο ὁ λίθος εἰς ὄρος μέγα. ὅρα, τὰ ἀποστολικὰ ῥήματα τὴν οἰκουμένην ἐπλήρωσεν ἅπασαν. ποτὲ μὲν οὖν ὄρος ὁ λίθος, ποτὲ δὲ ἀκρογωνιαῖος, ποτὲ δὲ θεμέλιος, ἵνα μάθῃς ὅτι τὰ πάντα πληροῖ. διὰ τοῦτο ὄρος ὅτι τὰ πάντα συνέχει. διὰ τοῦτο ἀκρογωνιαῖος ὅτι τὰ πάντα ἐν αὐτῷ συνέστηκε. διὰ τοῦτο θεμέλιος, καὶ ῥίζα ἀμπέλου. ἐγὼ γάρ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. τοῦτο ἐστὶν τὸ ἐνύπνιον, φησί, καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως· σὺ βασιλεὺς βασιλέων. σοὶ ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν, καὶ κραταιὰν, καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων, θηρία τε ἀγροῦ, καὶ πετεινὰ οὐρανοῦ ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησέ σε κύριον πάντων. ὅτε ἐπεδείξατο τοῦ θεοῦ τὴν ἰσχὺν, τότε μετὰ παρρησίας, αὐτῷ καὶ τὸ κήρυγμα κηρύττει. καὶ ὅρα μετὰ κολακείας ὅσης ἐνίησι τὸν λόγον, καὶ μετὰ τιμῆς. σὺ βασιλεὺς, φησί, βασιλέων. σοὶ ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν, καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ,

ὅπου

ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων. θηρία τε ἀγροῦ, καὶ πετεινὰ τοῦ οὐρανοῦ ἔδωκεν ἐν τῇ χειρί σου. οὐ τῶν συγγενῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῆς ἐρήμου, καὶ τῶν ὑπὲρ κεφαλῆς ἀρχάς. ὅρα πῶς ἀνεδείξατο τοῦ θεοῦ τὴν δωρεὰν ἐκείνην τὴν ἐν ἀρχῇ γενομένην, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, ἵνα μάθῃς ὅτι καὶ τῆς ἐρήμου δημιουργὸς αὐτός, ὅτι καὶ θηρίων ποιητής, οὐχὶ τῶν ἡμέρων μόνον. καὶ ἐν παντὶ τόπῳ, ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων, σοὶ ἔδωκε τὴν βασιλείαν ὁ θεὸς τοῦ οὐρανοῦ. οὐκέτι φησί, ἔστι θεὸς ἐν οὐρανῷ. ὅρα πῶς κατὰ μικρὸν εἰσάγει τὸ δόγμα. πρῶτον εἶπεν ὅτι ἐκεῖ οἰκεῖ, ἵνα μὴ περὶ τὴν γῆν αὐτὸν φαντασθῇ. ἐπειδὴ δὲ ἐδέξατο τὸ δόγμα ἐκεῖνο, πάλιν αὐτὸν ἀφίστησι, καὶ τοῦτο δείκνυσιν, ὅτι δημιουργός ἐστιν αὐτοῦ τοῦ οὐρανοῦ, καὶ δεσπότης, καὶ κύριος, οὐχὶ τόπον αὐτὸν ἔχων, ἀλλ᾽ ἔργον αὐτοῦ τοῦτο. εἰ γὰρ τοῦ οὐρανοῦ κύριος, δύναται δοῦναί σοι τὴν γῆν, αὐτὸς ἔλαβε τὸν οὐρανόν, καὶ σοὶ τὴν γῆν

vbi habitant filij hominum. Et bestias agri & volucres cœli dedit in manu tua. Non solis hominibus, qui eiusdem tecum generis ac naturæ sunt; sed etiam deserto, & iis quæ supra caput sunt imperas. Aspice quomodo ostenderit illud Dei donum, quod in principio factum est: *Et dominamini* Gen. 1. 28. *piscibus maris, & volatilibus cœli.* Vt discas Deum, solitudinis etiam esse conditorem; & ferarum quoque factorem, non autem mansuetarum animantium dumtaxat. *Et in omni loco, vbi habitant filij hominum, tibi regnum dedit Deus cœli.* Non amplius dicit: *est Deus in cœlo.* Vide vt paulatim dogma inducat. Primùm dixit: illic habitat, ne circa terram Deum versari imaginaretur. At postquam illud documentum Rex accepit, rursus eum abducit, ostenditque Deum, cœli quoque esse opificem, herum ac dominum: non tamen in eo tamquam in loco contineri; sed cœlum ipsius esse opus. Nam si cœli dominus est, terram tibi dare potest. Ipse sibi sumpsit cœlum, & tibi terram largi-

tus est. Quod enim illic est, id tu es in terra; omnibus nempe superior, omnibus imperans, omnium caput. Tibi eorum quæ sunt super terram plus quàm ceteris concessit, cùm te caput constituerit, & regnum tuum aureum ex auro puro fecerit. 39. *Tu es caput aureum; & post te exsurget regnum aliud minus tuo, idque est argenteum; & regnum tertium, quod est æs, quod dominabitur vniuersæ terræ.* Tale enim Macedonum regnum fuit. 40. *& regnum quartum, quod est validum sicuti ferrum. Nam quemadmodum ferrum comminuit ac domat omnia: sic omnia comminuet ac domabit. Et quartum*, inquit, id est Romanorum. Nomina autem non profert. Quare apertiùs non est locutus? Ne multi sacros libros abolerent. 41. *Et quia vidisti pedes & digitos, partem quidem quandam testaceam, partem verò aliquam ferream; regnum diuisum erit: & à radice ferrea erit in eo, quemadmodum vidisti ferrum admistum testæ luteæ.* 42. *& digiti pedum, pars quidem aliqua ferrea, pars autem quæ-*

ἔδωκεν. ὅσπερ γάρ ἐστιν ἐκεῖνος ἐκεῖ, τοῦτο σὺ ἐπὶ τῆς γῆς, πάντων ἀνώτερος, πάντων ἄρχων, πάντων κεφαλή. καὶ τῶν ἐπὶ τῆς γῆς σοὶ πλέον ἔδωκεν, κεφαλήν σε ποιήσας, καὶ χρυσῆν δείξας σου τὴν βασιλείαν, χρυσίου καθαροῦ. σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ, καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου, ἥ ἐστιν ἄργυρος, καὶ βασιλεία τρίτη ἥ ἐστιν ὁ χαλκὸς ἣ * κυριεύει πάσης τῆς γῆς. * lege κυριεύσει τοιαύτη γὰρ ἡ μακεδόνων ἐγένετο. καὶ βασιλεία τετάρτη ἥτις ἐστὶν ἰσχυρὰ ὡς ὁ σίδηρος. ὃν τρόπον γὰρ λεπτύνει ὁ σίδηρος καὶ δαμάζει πάντα, οὕτω πάντα λεπτυνεῖ καὶ δαμάσει. καὶ τετάρτη φησὶν ἡ ῥωμαίων. οὐ λέγει δὲ τὰ ὀνόματα. τίνος ἕνεκεν; * ἢ γὰρ * f. μὴ ἂν σαφέστερον τὸν λόγον ἐποίησεν, ὥστε μὴ πολλοὺς ἀφανίσαι τὰ βιβλία. καὶ ὅτι εἶδες τοὺς πόδας, καὶ τοὺς δακτύλους, μέρος μέν τι ὀστράκινον, μέρος δέ τι σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ τῷ πηλίνῳ. καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι

ὀστράκινον, μέρος τῆς βασιλείας ἔσται ἰσχυρόν, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον. καὶ ὅτι εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ τῷ πηλίνῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι τῶν ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου. πότε τοῦτο ἐπὶ ῥωμαίων γέγονεν; ὁρᾷς καὶ βασιλείας γινομένας τοιαύτας; οὐχὶ ἀπὸ βασιλικοῦ γένους ἀπολύτας, ἄλλως δὲ καὶ * ἀπίστους πολλοὺς διακειμένους. καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται· καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑποληφθήσεται· λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας· καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας. ἄγε μοι τοὺς ἰουδαίους ἐνταῦθα. τί ἂν εἴποιεν περὶ τῆς προφητείας ταύτης; οὐ γὰρ δήπου περὶ ἀνθρωπίνης ταῦτα θέμις εἰπεῖν, ὅτι ἄπειρος ἔσται ἡ βασιλεία, ἀλλ' εἰκὸς εἶναί τινα περὶ οὗ ταῦτα λέλεκται. εἰ δὲ λέγοις περὶ τοῦ πατρὸς εἰρῆσθαι, ἀλλ' ἄκουε τί φησιν· ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων, τῶν ῥωμαίων δηλονότι. ἄλλως δὲ εἰ λέγοιεν, καὶ πῶς τὸν χρυσὸν συνέτριψε, τὴν βαβυλω-

* l. ἀπίστως

dam teſtea; pars regni erit fortis, & ab ea quod erit contritum. 43. *& quia vidiſti ferrum admiſtum teſtæ luteæ; commiſcebuntur in ſemine hominum: & non adhærebunt, ſicut ferrum non immiſcetur cum teſta.* Quando id in Romanis contigit? Vides hæc regna talia fuiſſe? Nec in iis omnes originem duxiſſe ex genere regio; plurimos etiam fuiſſe infidos. 44. *Et in diebus regum illorum ſuſcitabit Deus cæleſtis regnum, quod in ſæcula non corrumpetur: & regnum eius populo alteri non relinquetur: comminuet & ventilabit vniuerſa regna: & ipſum exſurget in ſæcula.* Adducito mihi huc Iudæos. Quid de hac Prophetia dicturi ſunt? Neque enim profectò de humano regno hæc fas eſt dicere; ſcilicet regnum infinitum fore: ſed oportet aliquem eſſe de quo hæc dicta ſint. Quòd ſi dixeris, de Patre prolata fuiſſe; at audi quid dicatur: *In diebus regum illorum.* Romanorum videlicet. Quòd ſi dicant: quomodo aurum conterere potuit, nempe regnum Babyloniorum, quod iam

olim erat destructum? Quomodo etiam argentum, nimirum regnum Persarum? Et quomodo æs, scilicet regnum Macedonum? Hæc enim quondam fuerant, & finem acceperant. Verùm ne
2.Thess. 2.7. mireris, carissime. Si enim Paulus ausus non est apertè loqui; sed ait: *Donec qui tenet, de medio fiat*: multò magis Propheta. Quænam enim, quæso, vtilitas ex aperta locutione orta fuisset? Si autem dixerint; quo pacto contriuit æs ac ferrum? Hæc quæstio erit communis. Etenim de ipsis perinde quæretur; quomodo iam exstincta regna destruat? Quia nimirum destruit alia regna, in quibus hæc continentur. Alioquin autem id latenter operabatur, cùm etiam antea Deus esset, sed nondum ideo visus, vt vos iure dubitaretis. Quòd si quis voluerit etiam in præsenti tempore accipere prophetiam, nequaquam aberrabit. Siquidem nunc quoq; contriuit regna, superbiam Macedonum [& Romanorum] potentiam. Cùm enim videris martyres ad Dei mandatum implendum id facientes, imò & mortem sustinentes; videbis regnum il-

νίκων βασιλείαν πάλαι κατασκευαθεῖσαν; πῶς δὲ τὸν ἄργυρον τὸν περσῶν; πῶς δὲ τὸν χαλκὸν τῶν μακεδόνων; ταῦτα γὰρ πάλαι ἐγένετο, καὶ τέλος ἔλαβεν. ἀλλὰ μὴ θαυμάσῃς, ἀγαπητέ. εἰ γὰρ ὁ παῦλος οὐκ ἐτόλμησε φανερῶς εἰπεῖν, ἀλλ' ἕως τοῦ ὁ κατέχων, φησί, ἐκ μέσου γένηται, πολλῷ μᾶλλον ὁ προφήτης. τί γὰρ ὄφελος εἰπέ μοι ἀπὸ τοῦ φανερῶς εἰπεῖν ἐγίνετο; εἰ δὲ λέγοιεν, πῶς συνέτριψε τὸν χαλκὸν, τὸν σίδηρον; τοῦτο κοινὸν ἔσται τὸ ζήτημα. καὶ γὰρ ἐπ' αὐτῶν ὁμοίως διαπορήσεται, πῶς τὰς ἤδη σβεσθείσας βασιλείας καθαιρεῖ; ἀλλὰ δὴ καθαιροῦν ἑτέρας ἐν αἷς αἱ τοιαῦται εἰσὶν, εἰκότως ἐμποιεῖ. ἄλλως δὲ λανθανόντως τοῦτο εἰργάζετο, καὶ πρὸ τούτου θεὸς ὢν, καὶ οὐ τότε φανεὶς, ὥστε εἰκότως ἀμφισβητοῖτε. εἰ δὲ βούλοιτό τις καὶ ἐν τῷ παρόντι καιρῷ λαμβάνειν τὴν προφητείαν, οὐκ ἂν ἁμαρτήσεται. καὶ γὰρ καὶ νῦν συνέτριψε τὰς βασιλείας, τὸν τῦφον μακεδόνων δὲ κῦρος. ὅταν γὰρ ἴδῃς μάρτυρας, ἵνα δὴ πρόσταγμα ἐκείνου πληρωθῇ, τοῦτο ποιοῦντας, καὶ πολλῷ μᾶλλον τὸν θάνατον ὑπομένοντας, ὄψει αὐτοῦ τὴν

βασιλείαν, καὶ πῶς τὴν γῆν ἐνέπλησεν. εἶδες προφητείας. εἰ μὴ ἐξέβη τὰ ἐπ' ἐκείνων, μηδὲ τῇ συντελείᾳ πίστευε. εἶτα ἐπάγει· ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκὸν, τὸν ἄργυρον, τὸν χρυσόν. ὁ θεὸς ἐγνώρισε τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. ὅρα πῶς πιστοῦται τὰ λεχθέντα, ἀπὸ τῶν φανερῶν τὰ ἀφανῆ, τὸ μονονουχὶ λέγων, εἰπὼν τὸ ἐνύπνιον, ἐπίστευσε τῇ συγκρίσει. τί οὖν ὁ βασιλεύς; τότε, φησὶ, ὁ βασιλεὺς ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπόν σου, καὶ τῷ δανιὴλ προσεκύνησεν, καὶ μάννα, καὶ εὐωδίαν εἶπεν σπεῖσαι αὐτῷ. εὐθέως οὕτως ἐπιστεύθη. καὶ εἰκότως εἶπεν μάννα καὶ εὐωδίαν σπεῖσαι αὐτῷ. εἶδες θαῦμα μέγιστον. εἶδες πῶς ἔθος τοῖς ἕλλησιν ἀπὸ ἀνθρώπων θεοὺς ποιεῖν. ὥστε ὅταν λέγωσιν, πόθεν ἡ εἰδωλολατρεία, μάνθανε τὴν ἀρχήν. οὕτω καὶ τοὺς ἀποστόλους ἐξ ἀνθρώπων ἐποίουν θεούς. οὕτω καὶ ὁ διάβολος ἐφιλονείκησε πα-

lius, & quomodo terram repleuerit. Nosti prophetias. Si quæ ab illis prædicta fuerant non euenerunt, nec consummationi crede. Deinde adiicit: 45. *Sicut vidisti de monte abscissum esse lapidem, sine manibus, qui comminuit testam, ferrum, æs, argentum, aurum. Deus indicauit Regi quæ oporteat fieri post hæc. & verum est somnium, & fidelis coniectura eius.* Vide quomodo fidem adstruat iis quæ dixerat. Ex rebus manifestis obscura probat. Quasi diceret: narraui somnium, interpretationi crede. Quid igitur Rex? 46. *Tunc*, inquit, *rex Nabuchodonosor cecidit in faciem suam, & Danielem adorauit: & manna atque bonum odorem dixit vt libarent ei.* Tam citò Danieli creditum est. Ac meritò præcepit manna & bonum odorem libari ei. Vides maximum miraculum. Vides vt mos sit Gentilibus, ex hominibus Deos facere. Itaque quando dixerint: vnde idololatria? Principium illius disce. Sic Act. 14.
Apostolos quoque ex hominibus Deos faciebant. 11. & 28. 6.
Sic & diabolus ab initio im-

pietatem introducere contendit dicens: *Eritis sicut Dij.* Et quoniam tunc non valuit, poſtilla id tentat, vbique obnitens Deorum multitudinem introducere.

Gen. 3. 5.

47. *Et reſpondens Rex dixit Danieli: in veritate noui quod Deus veſter ipſe eſt Deus viuens, & dominus regum.* Hoc ſolo inductus, ſtatim credidit Rex: Iudæi verò cùm millia huiuſmodi audirent, non attendebant. Vides qua ratione tibi oſtendat gentium gratum animum? Quandoquidem enim aderat deinceps tempus, in quo oportebat ad Gentiles prædicationem Euangelij exportari; anticipans, ſe excuſat per illorum progenitores, oſtenditque non fruſtra nec temere Gentiles Iudæis à ſe fuiſſe præpoſitos.

ἐπὶ τὴν ἀρχὴν τὴν ἀσέβειαν εἰσαγαγεῖν λέγων, ἔσεσθε ὡς θεοί. καὶ ἐπεὶ τότε οὐκ ἴσχυσεν, ὕστερον ἐπιχειρεῖ, πανταχοῦ φιλονεικῶν τὴν πολυθεΐαν εἰσαγαγεῖν. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν τῷ δανιήλ· ἐπ' ἀληθείας οἶδα ὅτι ὁ θεὸς ὑμῶν αὐτὸς ἐστὶ θεὸς ζῶν, καὶ κύριος τῶν βασιλέων. ἀπὸ τούτου μόνου οὕτως εὐθέως ἐπίστευσεν, οἱ δὲ ἰουδαῖοι μυρία τοιαῦτα ἀκούοντες οὐ προσεῖχον. ὁρᾷς πῶς σοι δείκνυσι τὴν ἐθνῶν εὐγνωμοσύνην; ἐπεὶ γὰρ ὁ καιρὸς παρεγένετο λοιπὸν, καθ' ὃν ἔδει τὸ κήρυγμα εἰς ἐκείνους ἐξενεχθῆναι, προλαμβάνων ἀπολογεῖται διὰ τῶν προγόνων αὐτῶν, ὅτι οὐ μάτην, οὐδὲ ἁπλῶς ἐκείνους τούτων προτιμᾷ.

CAPVT III.

1. ANNO *decimo octauo Nabuchodonoſor rex fecit imaginem auream: altitudo eius cubitorum ſexaginta, & latitudo eius cubitorum ſex: & ſtatuit eam in campo Deera in prouincia*

ΚΕΦ. Γ'.

ΕΤΟΥΣ ὀκτωκαιδεκάτου ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, καὶ εὖρος αὐτῆς πήχεων ἕξ. καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ δεηρᾷ ἐν χώρᾳ

Βαβυλῶνος. καὶ ναβουχοδονόσορ ἀπέστειλε εἰσαγαγεῖν πάντας τοὺς ὑπάτους, καὶ στρατηγούς, καὶ τοπάρχας, ἡγουμένους καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος ἧς ἔστησε ναβουχοδονόσορ ὁ βασιλεύς. ὅρα τὴν ἀλήθειαν τῶν πραγμάτων λάμπουσαν. καίτοι τίς οὐκ ἂν αἰσχυνθείη τοῦτο ἀποκαλύψαι; τί λέγεις; ὁ προσκυνήσας; ὁ μάννα σπείσας; ὁ τὸν θεὸν οὕτω τιμῶν; καὶ θαυμάσας καὶ ὑπερεκπλαγείς, οὗτος οὐδὲ μακροῦ παρελθόντος χρόνου εὐθέως ἐπὶ τὴν προτέραν ἐπανέρχεται πλάνην; καλῶς γε, οὐ γὰρ αὐτὸν κατεπλήξατε τοῖς σημείοις, ἀλλ' οὐδὲν τούτων ἐνενόησαν, ἀλλ' ἓν μόνον ὁρῶσιν ὅπως γυμνὴν τὴν ἀλήθειαν παρακατάθωνται. ἐπειδὴ γὰρ τὴν πόλιν εἷλε, τότε γὰρ αὐτὴν εἷλε, καὶ αὐτῆς ἐκράτει, ἔστησε τὴν εἰκόνα, ἴσως εἰς τῦφον ἀρθείς. τινές φασιν, ὅτι τῆς εἰκόνος ἐκείνης μεμνημένος τῆς ἐν τοῖς ὀνείροις αὐτῷ δειχθείσης. ἄλλοι δὲ λέγουσιν ὅτι εἰς θεοὺς ἑαυτὸν

Babylonis. 2. *& Nabuchodonoſor miſit congregatum omnes ſummates, & prætores, præſides, duces & tyrannos, & in poteſtatibus conſtitutos, & omnes regionum magiſtratus, vt venirent ad dedicationem imaginis, quam ſtatuerat Nabuchodonoſor rex.* Aſpice ſplendentem rerum veritatem. & certè quem non puduiſſet flagitium Regis reuelaſſe? Quid dicis? Ille qui adorauit? Qui manna libauit? Qui Deum adeò honorauit? Qui admiratus eſt, & ſupra modum obſtupuit? Ille ne, nec longo tempore elapſo, ſtatim ad priorem reuertitur errorem? Pulcrè ſanè. Non enim eum ſignis obſtupefeciſtis. Nam nihil horum cogitarunt Iuuenes; at vnum ſolummodo reſpexerunt, quomodo veritatem nudam deponerent. Poſtquam enim ille vrbem ceperat: (tunc quippe Hieroſolymam expugnauit, & illa potitus eſt) erexit imaginem; fortè in ſuperbiam elatus. Quidam dicunt quòd imaginis illius recordatus, quæ ipſi in ſomnis oſtenſa fuerat: alij autem aiunt quòd ſeipſum in Deos re-

ferre volens. Etenim hoc desiderio tenebantur antiqui, vt Dij censerentur, sicut diabolus. Et vide exitum. Cùm omisisset iubere, vt ipsum adorarent, effecit vt imago sua adoraretur: ex multa rerum abundantia id conficere volens; & magnitudine atque corporis mole cupiens percellere, ac rursus à loco: *In loco Deera*, inquit. Campus erat fortasse latus ac patens. 12. *Sunt viri Iudæi, quos constituisti super opera Babylonis, Sedrachus, Misachus, Abdenago. Viri illi non obedierunt, Rex, decreto tuo; & Deos tuos non colunt; & imaginem auream quam statuisti non adorant.* 13. *Tunc Nabuchodonosor in furore & ira dixit, vt adducerent Sedrachum, Misachum & Abdenagonem.* Quomodo hîc non comparet Daniel? Mihi videtur illum veritum esse, vel vt Chaldæi ipsum denunciarent, vel vt Rex reuerentiâ adductus illum cogeret, vel vt manifestum haberet accusatorem. Quidam verò dicunt, quia vocabatur Baltasar: id autem nomen erat Idoli quod apud Babylonios colebatur. Deus igitur prouidit vt in fornacem non

ἀναγαγεῖν βουλόμενος. καὶ γὰρ ταύτην εἶχον ἐπιθυμίαν οἱ παλαιοὶ, ὥστε νομίζεσθαι θεοὶ, καθάπερ ὁ διάβολος. καὶ ὅρα τὴν ἔκβασιν. ἀφεὶς ποιῆσαι ἑαυτὸν προσκυνεῖσθαι, τὴν εἰκόνα ἐποίησε προσκυνεῖσθαι· ἐκ πολλοῦ τοῦ περιόντος τοῦτο κατασκευάσαι βουλόμενος, καὶ τῷ μεγέθει, καὶ τῷ τοῦ σώματος ὄγκῳ καταπλῆξαι θέλων, καὶ ἀπὸ τοῦ τόπου πάλιν, ἐν τόπῳ δεηρᾷ, φησί. *ὕπιον ἴσως ἦν τὸ πεδίον. εἰσὶν ἄνδρες ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα βαβυλῶνος, σεδρὰχ, μισὰχ, ἀβδεναγώ. οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν βασιλεῦ τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσιν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησας οὐ προσκυνοῦσιν. τότε ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν σεδρὰχ, μισὰχ καὶ ἀβδεναγώ. πῶς ὁ δανιὴλ ἐνταῦθα οὐ φαίνεται; ἐμοὶ δοκεῖ, φοβούμενος ἐκείνους μὴ καταγγεῖλαι αὐτὸν, ἢ τὸν βασιλέα αἰδούμενον μὴ ἀναγκάσαι, ὥστε μὴ ἔχειν κατήγορον φανερόν. τινὲς δέ φασιν, ἐπειδὴ βαλτάσαρ ἐκαλεῖτο. τὸ δὲ ὄνομα τοῦτο τοῦ εἰδώλου τοῦ παρ᾽ αὐτοῖς ἦν. ὁ θεὸς οὖν ᾠκονόμησεν μὴ ἐμβληθῆναι εἰς τὴν

* l. ὕπτιον

κά-

κάμινον ὥστε μὴ τῇ προσηγορίᾳ
τῆς ἰσχύος ἐπιγράψαι, καὶ διαφυ-
γεῖν. τί οὖν οἱ τρεῖς παῖδες; μά-
λιστα μὲν γὰρ ἔμελλον καὶ αὐτοὶ διε-
λέγχειν τὸ πρᾶγμα. πλὴν ἐ-
πὶ τῆς προρρήσεως πῶς οὐκ ᾠκο-
νόμησε τοῦτο ὁ θεός; διέβαλλον αὐ-
τοὺς οἱ χαλδαῖοι· πολλὰ γὰρ ἡ βα-
σκανία ποιεῖ. οὐκ ἔφερον τοὺς αἰ-
χμαλώτους κρατοῦντας αὐτῶν
ὁρῶντες. ἀλλ' ὅρα, καθάπερ ἐπὶ τοῦ
δανιὴλ, πρότερον ἔμαθον αὐτοῦ
τοὺς τρόπους καὶ τὴν ἐπιείκειαν, καὶ
τότε τὰ σημεῖα ἑώρων· οὕτω καὶ
ἐνταῦθα ἄγονται εἰς μέσον, καὶ
πρῶτον αὐτῶν τὴν προαίρεσιν ἀ-
πεγύμνωσεν ὁ θεός· κἀκεῖνοί τε
οὕτω παρεσκευασμένοι οὐκ ἐ-
πεπήδησαν εἰς τὸ μέσον. ἴστε δὲ ὅ-
τι ἄνθρωπος τῆς παρούσης ζωῆς
ἀπεγνωκὼς καὶ ῥαδίως φέρων τὴν
τελευτὴν, οὐδὲν παραιτήσαιτο
τολμῆσαι, καὶ τῶν σφόδρα δοκούν-
των τολμηρῶν εἶναι. ἀλλ' ὅμως καὶ
οὗτοι θανάτου ὑπερορῶντες ἐπι-
εικεῖς ἦσαν, οὐδὲν ἀπὸ τῆς ἀνδρείας
εἰς θρασύτητα παραβλαβέντες,
οὐδὲ φιλοτιμίᾳ τοῦτο ποιοῦντες. καὶ
οἱ ἄνδρες ἐκεῖνοι οἱ τρεῖς σεδρὰχ,
μισὰχ, ἀβδεναγὼ ἔπεσον εἰς μέ-

mitteretur, ne ſcilicet virtus quâ periculum vitaturus erat, ei nomini adſcriberetur. Quid igitur tres Pueri? Maximè equidem ipſi quoque rem confutaturi erant. Ceterum in illa prædictione ſuperiori quomodo Deus idem non diſpoſuit? Criminabantur illos Chaldæi: Plurimum enim poteſt inuidia. Ferre non poterant captiuos ipſis imperantes aſpicere. Sed vide. Sicut in Daniele, priùs didicerunt illius mores ac manſuetudinem; & tunc ſigna viderunt: ita etiam hîc in medium ducuntur Pueri, & primùm eorum propoſitum denudauit Deus: & illi ita præparati non in medium inſilierunt. Scitis autem hominem, qui præſenti vitæ renuntiauit, quíque facilè, mortem ſuſtinet; non detrectaturum quidlibet audere, etiam eorum quæ temeraria eſſe videntur. Attamen iſti, etſi mortem contemnerent, manſueti erant; nec illos vllatenus læſit fortitudo, aut in audaciam adduxit; neque id ambitione faciebant. 23. *Et viri illi tres Sedrachus, Miſachus, & Abdenago ceciderunt in mediam*

Dan. 2.

fornacem ignis ardentem, ligati. Et deambulabant in medio flammæ, laudantes Deum, & benedicentes Dominum. Vide, nonne mirabilis ac inopinata eſt hæc res, ambulare ſimul ac laudare, quaſi eſſent in aquarum lauacro? Quamquam nihil ibi erat, quod impediret; quandoquidem Deus voluerat. Tale quid mihi videtur fuiſſe & ille ignis, quo combuſti ſunt ij qui extra fornacem erant: & hic ignis erat, & ille ignis; & hæc corpora, & illa corpora: & tamen hæc attigit, illis verò abſtinuit. Vides quantum ſit bonum voluntas optima? Admiratus es eorum voluntatem? Mirare Domini beneuolentiam, & honorem quem in illos exhibuit. *Glorificantes me glorificabo*, inquit. Steterat vniuerſum theatrum. Supra naturam locuti ſunt; ſupra naturam illos honorat. Aſpice vt famuli eadem quæ Dominus poſſint. Quid miraris ſi Regem derideant, cùm illos elementa reuereantur ac ſuſpiciant. Caminus factus eſt Eccleſia: ipſi cœlo erat ſimilis. Hîc iam incorruptionis experi-

1. Reg. 2. 30.

σον τοῦ καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι· καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν θεόν, καὶ εὐλογοῦντες τὸν κύριον. ὅρα, οὐ θαυμαστὸν τοῦτο καὶ παράδοξον, τὸ καὶ περιπατεῖν καὶ ὑμνεῖν καθάπερ ἐν κολυμβήθρᾳ ὑδάτων; καίτοι οὐδὲν κωλῦον ἦν ἐκεῖ, ἐπείπερ θεὸς ἠβουλήθη. τοιοῦτον εἶναι ἐμοὶ δοκεῖ κἀκεῖνο τὸ πῦρ τὸ τοὺς ἔξω κατακαῦσαν· καὶ τοῦτο πῦρ κἀκεῖνο τὸ πῦρ, καὶ ταῦτα σώματα κἀκεῖνα τὰ σώματα· καὶ τῶν μὲν ἥψατο, τῶν δὲ ἀπέχετο. εἶδες ὅσον ἀγαθὸν προαίρεσις καλλίστη; ἐθαύμασας αὐτῶν τὴν προαίρεσιν; θαύμασον τοῦ δεσπότου τὴν εὔνοιαν, καὶ τὴν τιμήν, ἣν εἰς αὐτοὺς ἐπεδείξατο. τοὺς δοξάζοντάς με δοξάσω, φησί. εἱστήκει τὸ θέατρον ἅπαν. ὑπὲρ τὴν φύσιν ἐφθέγξαντο, ὑπὲρ τὴν φύσιν αὐτοὺς τιμᾷ. ὅρα τὰ τοῦ δεσπότου δυναμένους τοὺς οἰκέτας. τί θαυμάζεις εἰ βασιλέως καταγελῶσιν, ὅτε αὐτοὺς τὰ στοιχεῖα αἰδῆται καὶ θαυμάζῃ. ἐκκλησία γέγονεν ἡ κάμινος, αὐτῷ ἐῴκει τῷ οὐρανῷ. ἐνταῦθα ἤδη τῆς ἀφθαρ-

σίας πεῖραν ἔλαβον. ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν παθητὰ τὰ σώματα ἡμῶν ἡ ἁμαρτία πεποίηκεν. ὅταν γοῦν τὰ δίκαια πράττῃ, πάλιν ἀπαθῆ γίνεται. καὶ περιεπάτουν, φησί. ἀλλ' ἴδωμεν τί φθέγγονται, τῆς μυστικῆς ἀκούσωμεν φωνῆς μεθ' ἡσυχίας πολλῆς. εἶδες ἄτακτον φωνὴν καὶ συγκεχυμένην τῆς σαμβύκης, καὶ τοῦ ψαλτηρίου, καὶ τῆς μουσικῆς; ἄκουσον φωνῆς ἀπὸ πυρός. οὐ θαυμαστὸν ἐδόκει σοι τὸ φωνὴν ἀπὸ πυρὸς φέρεσθαι θεοῦ; ἰδοὺ καὶ τοῖς δούλοις αὐτοῦ τοῦτο ἐχαρίσατο. ποῖος ἀὴρ πληττόμενος τὴν φωνὴν ἀπετέλει; οὐχὶ τοῦτο ἀεὶ τοῖς μέλλουσι κατακαίεσθαι παραινοῦσι διανοίγειν τὰ στόματα, ὡς οὐδὲ μικρὸν δυναμένης τῆς δυνάμεως ἐναπομεῖναι τῷ σώματι λοιπόν; ὅρα συμφωνίαν μουσικὴν, ὥσπερ ἐξ ἑνὸς στόματος πάντας ὑμνοῦντας. καὶ στὰς ἀζαρίας προσηύξατο οὕτως, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν. ἵνα μὴ νομίσῃς ὅτι ὑπὲρ τῶν παρόντων εὐχαριστοῦσι μόνον· ὑπὲρ τῆς αἰχμαλωσίας, καὶ τῶν δεινῶν ἐκείνων τῶν συμβεβηκότων αὐτοῖς παρακαλοῦσι τὸν θεόν. ὅρα πῶς ἄρχονται. εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πα-

mentum ceperunt. Quandoquidem & ab initio corpora nostra passibilia peccatum fecit. Cùm igitur iusta operantur, iterum impassibilia fiunt. *Et deambulabant*, inquit. Sed videamus quid loquantur; audiamus vocem mysticam cum quiete multa. Vidisti vocem inordinatam & confusam sambucæ & psalterij & Musicæ? Audi vocem ab igne emissam. Nonne mirum tibi videbatur vocem Dei ab igne edi? Ecce etiam seruis suis hoc donauit. Quis aër percussus vocem eam efficiebat? Nonne id semper eos qui comburendi sunt admonent, vt aperiant ora, quòd sic ne paulum quidem possit vis deinceps in corpore permanere? Vide concentum musicum, omnes nimirum quasi ex vno ore Deum laudantes. 25. *Et stans Azarias orauit sic: & aperiens os suum in medio ignis, dixit.* Vt non existimes eos de præsentibus rebus gratias agere; ideo de captiuitate, & molestiis iis quæ ipsis contigerant, Deum inuocant. Vide vt incipiant. 26. *Benedictus es Domine Deus pa-*

trum nostrorum, & laudabile & glorificatum nomen tuum in sæcula. 49. Angelus autem Domini descendit cum Azaria & sociis eius in fornacem, & excußit flammam ignis de fornace. 50. & fecit medium fornacis, quasi ventum roris sibilantem; & non tetigit eos omnino ignis, & non contristauit eos, & molestiam non intulit. Ita non fortuitò ista fiebant. Et non solùm non sunt combusti; sed nec illis molestiam exhibuit ignis, nec vel minimùm nocuit; neque calorem senserunt. Et eapropter adeò sese extulerat flamma, vt & ab iis qui foris erant cerneretur. Et verò materia immissa sufficiebat ad fidem illis faciendam, & quòd ignis non deficeret, & quòd diu ardens appareret, & quòd res coram omnibus fieret. 91. *Et Nabuchodonosor audiuit laudantes eos; & admiratus est, & surrexit properè, & dixit optimatibus suis.* Id ipsum autem, vt audiret, vnde contigit Nabuchodonosori? At per totum tempus assederat. Ideo Deus non permisit vt statim ille audiret, quò ipsum etiam tempus testimo-

πέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. ὁ δὲ ἄγγελος κυρίου συγκατέβη τοῖς περὶ τὸν ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξεν τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησεν τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, καὶ οὐκ ἐλύπησεν αὐτοὺς, καὶ οὐκ παρηνώχλησεν. οὕτως οὐκ αὐτομάτως ταῦτα ἐγένετο· καὶ οὐ μόνον οὐ κατεκαύθησαν, ἀλλ' οὐδὲ παρηνώχλησεν αὐτοὺς τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ τὸ τυχὸν οἷον, οὐδὲ θέρμην ᾔσθοντο. διὰ τοῦτο δὲ καὶ ἐπὶ τοσοῦτον ἡ φλὸξ ἀνῆλθεν, ὥστε καὶ τοῖς ἔξωθεν φαίνεσθαι. καὶ ἡ ἐμβαλλομένη δὲ ὕλη ἱκανὴ ἦν αὐτοὺς πιστώσασθαι, καὶ τὸ μὴ διαλείπειν, καὶ τὸ ἐπὶ πολὺ φαίνεσθαι καιομένην, καὶ πάντων ἔμπροσθεν τοῦτο γενέσθαι. καὶ ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασε, καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπεν τοῖς μεγιστᾶσιν αὐτοῦ. αὐτὸ δὲ τοῦτο ἐπῆλθε πόθεν τῷ ναβουχοδονόσορ ἀκοῦσαι; ἆρα πάντα τὸν χρόνον παρεκάθητο. διὰ γὰρ τοῦτο εὐθέως οὐκ εἴασεν αὐτὸν ἀκοῦσαι, ἵνα καὶ ὁ χρόνος αὐτοὺς μαρτυ-

φήσῃ τῶν γινομένων, ὅτι καὶ πολλὸν διατρίψαντες χρόνον, οὐδὲν ἔπαθον δεινόν. οὐχὶ ἄνδρας τρεῖς ἐνεβαλόμεθα εἰς μέσον τοῦ πυρὸς πεπεδημένους; καὶ ἀποκριθέντες λέγουσι τῷ βασιλεῖ· ἀληθῶς βασιλεῦ. καὶ εἶπεν ὁ βασιλεύς· ὧδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρός, καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ τοῦ θεοῦ. ἀπὸ τῆς θύρας εἶδεν τὰς ὄψεις. τότε προσῆλθε ναβουχοδονόσωρ πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ εἶπεν· σεδρὰχ, μισὰχ, ἀβδεναγὼ, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου ἐξέλθετε, καὶ δεῦτε ὧδε. καὶ ἐξῆλθον σεδρὰχ, μισὰχ, ἀβδεναγὼ ἐκ μέσου τοῦ πυρός. διὰ τί δ' οὐ πρότερον ἐξῆλθον ἕως ἐκάλεσεν αὐτούς; καὶ καλῶς πρότερον ἐρωτᾷ τοὺς ἄρχοντας, ἵνα τῇ ἀποκρίσει προκαταχεθέντες, μηδὲν ἐναντίον ἀποκρίνωνται, μηδὲ ὑπὸ τοῦ καιροῦ συναρπαγῶσιν, ὥσπερ τῷ μωυσεῖ ἔλεγεν ὁ θεός· τί τοῦτο ἐν τῇ χειρί σου; οὕτω καὶ τούτους ναβουχοδονόσωρ προκαταλαμβάνει τῇ ἐρωτήσει. ἰδοὺ, φησὶν, ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καὶ περιπα-

nium perhiberet rei gestæ; quòd scilicet per multum tempus in camino commorati, nihil mali passi essent. *Nonne viros tres iniecimus in medium ignis compeditos? Et respondentes dicunt Regi: verè ô Rex. 92. & dixit Rex: hîc ego video viros quatuor solutos, & ambulantes in medio ignis: & corruptio non est in eis: & species quarti similis filio Dei.* Ab ostio viderat eorum facies. 93. *Tunc accessit Nabuchodonosor ad ostium fornacis ignis quæ ardebat, & ait: ô Sedrache, Misache, Abdenago, serui Dei altissimi, egredimini, & venite huc. Et egressi sunt Sedrachus, Misachus, Abdenago de medio ignis.* Quare autem non priùs egressi sunt, quàm vocauit eos? Et pulcrè priùs interrogat primores, vt responsione sua præoccupati, nihil contrarij respondeant, neque occasione abripiantur: quemadmodum Moysi dicebat Deus: *Quid est hoc* Ex.4.a.
in manu tua? Sic etiam Nabuchodonosor hos interrogatione anticipat. *Ecce*, inquit, *video viros quatuor solutos, & ambulan-*

tes in medio ignis : & corruptio non est in eis : & aspectus quarti similis filio Dei. Plurimam fortè pulcritudinem præ se ferebat. Vnde, ô Nabuchodonosor, nosti filium Dei ? Aspice hunc barbarum prophetare ex aspectu solo. *Et accessit, & vocauit eos : ô Sedrache, Misache, Abdenago, serui Dei altissimi, egredimini, & venite.* Vide, non iussit exstingui fornacem : sed quid ? Vocauit eos, vt exirent. Vides miraculum magnum & incredibile. Quod maximè nouerat eos deliniturum, id illos vocauit. Nihil huic nobilitati par est. Audi e-
Ios. 1. 2. nim Deum dicentem : *Moses seruus meus mortuus est.* Et *Isaac*, inquit, *seruus tuus.* Hac appellatione exultant Angeli, & Cherubini, & Seraphini. Nec, sicuti contentiosus aliquis fecisset, in fornace manserunt Pueri ; sed statim obedierunt : & ad spectandum miraculum omnes conuenere.

τοιούτας ἐν μέσῳ τοῦ πυρὸς, καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ. πολὺ κάλλος ἴσως ἐνέφαινε. πόθεν οἶδας ὁ ναβουχοδονόσωρ υἱὸν θεοῦ; ὅρα τοῦτον προφητεύοντα, τὸν βάρβαρον, ἀπὸ τῆς ὄψεως μόνης. καὶ προσῆλθε, καὶ ἐκάλεσεν αὐτούς· σεδράχ, μισάχ, ἀβδεναγὼ, οἱ δοῦλοι τοῦ θεοῦ ὑψίστου ἐξέλθετε, καὶ δεῦτε. ὅρα, οὐκ ἐκέλευσε σβεσθῆναι τὴν κάμινον, ἀλλὰ τί; ἐκάλεσεν αὐτοὺς ἐξελθεῖν. εἶδες θαῦμα μέγα, καὶ παράδοξον. ὃ μάλιστα ᾔδει θεραπεῦσον, τοῦτο ἐκάλεσεν. οὐδὲν ταύτης τῆς εὐφημείας ἴσον. ἄκουε γὰρ τοῦ θεοῦ λέγοντος, μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε. καὶ ἰσαάκ, φησὶ, ὁ δοῦλός σου. ταύτῃ οἱ ἄγγελοι τῇ προσηγορίᾳ ἀγάλλονται, καὶ τὰ χερουβὶμ, καὶ τὰ σεραφίμ. καὶ οὐχ ὡς ἄν τις φιλόνεικος ποιήσειεν, * ἀναπέμειναν, ἀλλ' εὐθέως ὑπήκουσαν· καὶ συνῆλθον ἅπαντες ἰδεῖν τὸ θαῦμα.

* l. ἐναπ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΕΓΩ ναβουχοδονόσωρ εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου, καὶ πίων ἐν τῷ λαῷ μου. τίνος ἕνεκεν οὕτω τοῦτο ἔγραφεν, καὶ οὐχὶ ἔγραψεν· ναβουχοδονόσωρ ἦν εὐθηνῶν, ἀλλ' ὡς ἐκ προσώπου ἐκείνου; ἐμοὶ δοκεῖ ταῦτα τὰ ῥήματα αὐτοῦ τοῦ ναβουχοδονόσωρ εἶναι. ἐπειδὴ γὰρ ἀνήνεγκεν ἀπ' ἐκείνης τῆς πλάνης, ἐν δημοσίοις αὐτὰ κατέθετο γράμματα ἴσως. αὐτὸ οὖν σύνταγμα, ὥστε ἀξιόπιστον γενέσθαι, προάγει ὁ δανιήλ. τῇ γὰρ τῶν ἀνθρώπων φύσει αὐτὸς ὁ πεπονθὼς διαλέγεται. καὶ θέα μοι πόση παίδευσις γίνεται κατὰ τῶν ὑπερηφάνων. ἀπὸ γὰρ ὑπερηφανίας πεπόνθεν ἅπερ ἔπαθεν, καὶ δείκνυσι τὴν αἰτίαν τῆς ὑπερηφανίας ἀπό τε τοῦ τέλους, καὶ τῆς ἀρχῆς· ἐν μὲν τῷ τέλει λέγων, ὅτι πάντας τοὺς ὑπερηφάνους δύναται ταπεινῶσαι· ἐν ἀρχῇ δὲ καὶ ἐκ προοιμίων τὴν αἰτίαν τῆς ὑπερηφανίας διδάσκων. ἐκεῖ μὲν γὰρ ὅτι διὰ τοῦτο ἐταπεινώθη ἐδήλωσεν· ἐνταῦθα δὲ πόθεν τοιοῦτο ἐγένετο, ἐκ

CAPVT IV.

1. EGO *Nabuchodonoſor abundans eram in domo mea, & florens in throno meo, & pinguis in populo meo.* Cur ita hoc ſcripſit; & non ſcripſit: Nabuchodonoſor erat abundans: ſed quaſi ex perſona illius? Mihi videntur hæc verba ipſius Nabuchodonoſoris eſſe. Poſtquam enim à priſtino errore collegerat ſe, in publica Acta eas litteras retulerat fortè. Ipſam igitur conſtitutionem, vt fide dignus ſit adducit Daniel. Nam hominum naturæ ipſe qui paſſus eſt loquitur. Et mihi aſpice quantum documentum ſit aduerſus ſuperbos. A ſuperbia enim paſſus eſt quæcumque paſſus eſt: & oſtendit cauſſam ſuperbiæ, tum à fine, tum ab initio: in fine quidem di-
cens: *Quoniam omnes ſu-* v. 34.
perbos poteſt humiliare: In principio autem & ab exordiis cauſſam ſuperbiæ docens. Ibi etenim eum ideo fuiſſe humiliatum declarat: hic verò qua de cauſſa ſuperbus euaſerit, nempe ex

eo quòd multâ frueretur felicitate; ficut & Dauid dicit: *Ideo eos tenuit superbia.* Ita & hîc multas ponit

Ps. 72. 6.

prosperitates. In principio ait: *Abundans eram in domo mea, & florens in throno meo, & pinguis in populo meo.* Non enim fieri potest vt omnia bona simul concurrant. Licet secundùm imperium quidem, esse felicem; secundùm verò domum, infelicem; quemadmodum Herodes, quemadmodum Dauid: accidit rursus contrà, in populo quidem infelicem esse; à domo autem nihil graue ac molestum sustinere. Fieri etiam potest vt in vrbe pax sit; at regnum tumultibus quatiatur. Verùm isti felicem vndique esse contigit: nihil erat quod ipsum molestiâ afficeret. Vides quantum malum sit vacatio ac securitas? Sicut enim in corporibus cùm non fiunt necessariæ fatigationes & occupationes; affectatas quasdam aggredimur, ad corporis exercitium: ita & Deus facere solet, vt vigorem amputet. 2. *Somnium vidit, & perterruit me: & turbatus sum in cubili meo:*

τῆς πολλῆς ἀπολαῦσαι εὐπραγίας, ὥσπερ καὶ ὁ δαβὶδ λέγει· διὰ τοῦτο ἐκράτησεν αὐτῶν ἡ ὑπερηφανία. οὕτω δὴ καὶ ἐνταῦθα πολλὰς τίθησιν εὐπραγίας. ἐν τῇ ἀρχῇ φησι· εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου, καὶ πίων ἐν τῷ λαῷ μου. οὐ γάρ ἐστι πάντα ὁμοῦ συνδραμεῖν. ἔνεστι κατὰ μὲν τὴν ἀρχὴν εὐπραγεῖν, κατὰ δὲ τὴν οἰκίαν δυσπραγεῖν, καθάπερ ὁ ἡρώδης, καθάπερ ὁ δαβίδ· ἔνεστι πάλιν τοὐναντίον ἐν μὲν τῷ λαῷ δυσπραγεῖν, ἀπὸ δὲ τῆς οἰκίας μηδὲν πάσχειν δεινόν. ἔνεστιν ἐν μὲν τῇ πόλει εἰρηνεύειν, τὴν δὲ ἀρχὴν ταράττεσθαι. ἀλλ' οὗτος πάντοθεν εὐπραγεῖν εἶχεν· οὐδὲν ἦν αὐτὸν λυποῦν. ὁρᾷς πόσον κακὸν ἄδεια; καθάπερ γὰρ ἐπὶ τῶν σωμάτων, ὅτ' ἂν μὴ γίνονται οἱ κατ' ἀνάγκην μόχθοι καὶ ἀσχολίαι, ἐπιτηδεύτους τινὰς ἐπιχειροῦσι ποιεῖν, πρὸς γυμνασίαν τοῦ σώματος· οὕτω καὶ ὁ θεὸς ποιεῖν εἴωθε, ὥστε τὸ εὔτονον περιελεῖν. ἐνύπνιον εἶδον, καὶ ἐφοβέρισέν με, καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου,

καὶ

καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάραξάν με, καὶ παρ' ἐμοῦ ἐξετέθη δόγμα, ὥστε εἰσαγαγεῖν ἐνώπιον ἐμοῦ πάντας τοὺς σοφοὺς Βαβυλῶνος, ὅπως τὴν σύγκρισιν τοῦ ἐνυπνίου γνωρίσωσίν μοι. ὅρα πῶς αὐτὸν καταστεῖλαι βούλεται, οὐχὶ τῇ πείρᾳ τῶν πραγμάτων, ἀλλὰ τῇ προῤῥήσει τῶν συμβαινομένων· καὶ ὅπως ἦν φοβερὸν τὸ ἐνύπνιον; τίνος οὖν ἕνεκεν οὐχὶ καὶ νῦν ἀπέστη αὐτοῦ τὸ πνεῦμα, οὐδὲ ἠγνόησε τὸ ἐνύπνιον, καθάπερ καὶ πρότερον; ὅτι ἱκανὴν πεῖραν δεδωκότος τοῦ Δανιὴλ πρότερον, ἤγουν ἐν τῷ προλαβόντου ἐνυπνίου, οὐδὲ μία λοιπὸν χρεία ἦν δευτέραν προσενεχθῆναι δοκιμασίαν. πάντα γὰρ χρείας ἕνεκεν, οὐ φιλοτιμίας ὁ θεὸς πραγματεύεται. ἄλλως δὲ καὶ πρὸς ἔλεγχον γίνεται τῶν μάγων. ἵνα γὰρ μὴ λέγωσι πάλιν· εἰπάτω ὁ βασιλεὺς τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελοῦμεν ἡμεῖς. ἐλέγχονται μὴ δὲ τοῦτο αὐτὸ δυνάμενοι, οὐ μόνον ἐκεῖνο. οὐκ εἶχον λέγειν πάλιν· τὸ ῥῆμα ὃ ὁ βασιλεὺς ἐπερωτᾷ, βαρύ, καὶ οὐκ ἔστιν ἄνθρωπος, ὃς δυνήσεται διακρῖναι αὐτό, ἀλλ' ἢ θεοί, ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης σαρκός·

& visiones capitis mei conturbauerunt me. 3. & per me propositum est decretum, vt introducerent in conspectu meo omnes sapientes Babylonis; vt coniecturam somnij indicarent mihi. Vide quomodo illum comprimere vult, non rerum experimento, sed futurorum prædictione; & quomodo terribile erat somnium? Cur igitur nunc quoque non obstupuit spiritus eius, nec somnij oblitus est, sicut antea? Quia scilicet cùm Daniel priùs sufficiens experimentum dedisset, videlicet in somnio quod præcesserat, non erat deinceps necesse secundam adhiberi probationem. Omnia quippe Deus necessitatis gratiâ, non ostentationis operatur. Alioquin autem & id fit ad redarguendos magos. Nam ne iterum dicant: *Proferat Rex somnium: & illius coniecturam renuntiabimus nos:* Dan. 2. 7. arguuntur non solùm illud non posse, sed neque hoc. Nequibant dicere iterum: *Verbum quod Rex interrogat, graue est: & non est homo, qui poßit diiudicare illud, nisi Dij, quorum non est habitatio cum omni car-* Ib. 11.

ne. Inde didicit neque priora ex illa vulgari sapientia Danielem protulisse. Didicit Chaldæos neque superioribus temporibus quicquam sani dixisse; sicut ipsemet ait; at nullus erat qui illos reprehenderet. Cùm autem ad eos venit ex Iudæa demonstratio, Daniel nempe; non ampliùs audent ne quidem fingere. Igitur non sine prouidentia rursus illi vocantur. Etenim admiratione dignum est, quam ob rem Rex cùm in tantis rebus experimentum cepisset potestatis, qua pollebat Daniel; non tamen primum eum vocauit. Ipsemet enim Deus id molitus est, vt post magorum cladem victoria Danielis appareret. *Perterruit me,* inquit: & neque sic melior euasit; sed voluit periculum facere. Ita Deus vndique insons est. 4. *Et ingrediebantur incantatores, magi, Gazareni, Chaldæi: & somnium dixi in conspectu eorum: & coniecturam eius non indicauerunt mihi.* 5. *donec alius ingressus est, Daniel, in conspectu meo, cuius nomen Baltasar secundùm nomen Dei mei;*

ἐμάνθανεν ἐκ τούτων ὅτι οὐδὲ τὰ πρότερα ἐκ τῆς σοφίας ταύτης εἶπεν ὁ δανιήλ. ἔμαθεν ὅτι οὐδὲ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἔλεγον τι ὑγιές, καθάπερ αὐτὸς φησιν, ἀλλ' ἡ πάντων ἐν ἐρημίᾳ τῶν ἐλεγχόντων ὄντες. ὅτε δὲ ἦλθεν αὐτοῖς ἀπόδειξις ἐξ ἰουδαίας, ὁ δανιήλ, οὐκέτι τολμῶσιν οὐδὲ πλάττεσθαι. ὥστε οἰκονομικῶς πάλιν καλοῦνται οὗτοι. καὶ γὰρ ἄξιον θαυμάσαι τίνος ἕνεκεν λαβὼν πεῖραν τῆς τοῦ δανιὴλ δυνάμεως ἐν τοσούτοις, οὐ πρῶτον αὐτὸν ἐκάλεσεν. ὁ θεὸς αὐτὸς γὰρ τοῦτο κατεσκεύασεν, ὥστε μετὰ τὴν ἐκείνων ἧτταν φανῆναι τὴν νίκην. ἐφοβέρισέν με, φησί· καὶ οὐδὲ οὕτως ἐγένετο βελτίων, ἀλλ' ἐπ' αὐτὴν ἠθέλησε τὴν πεῖραν ἐλθεῖν. οὕτως ἀναίτιος ὁ θεὸς πανταχοῦ. καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ, μάγοι, γαζαρηνοὶ, χαλδαῖοι, καὶ τὸ ἐνύπνιον εἶπον ἐνώπιον αὐτῶν, καὶ τὴν σύγκρισιν αὐτοῦ οὐκ ἐγνώρισάν μοι, ἕως οὗ ἕτερος εἰσῆλθε δανιὴλ ἐνώπιόν μου, οὗ τὸ ὄνομα βαλτάσαρ κατὰ τὸ ὄνομα τοῦ θεοῦ μου,

ὃς πνεῦμα θεοῦ ἔχει ἐν ἑαυτῷ, καὶ τὸ ἐνύπνιον ἐνώπιον αὐτοῦ εἶπον. ἕως οὗ ἕτερος, φησὶ, εἰσῆλθεν ἐνώπιόν μου. ὡς ἐπιλαθόμενος οὕτω φησί. καὶ γὰρ πολλὰ ἔτη παρεληλύθει, καὶ ταχέως τὴν μνήμην ἀπέβαλεν, ἅτε ἐν τοσαύταις φροντίσιν ὢν, καὶ τοσαύτῃ συζῶν τρυφῇ. τὸ εἰπεῖν ἕτερον, σημεῖόν ἐστι τοῦ σφόδρα αὐτὸν ἀγνοεῖν. κατὰ τὸ ὄνομα, φησί, τοῦ θεοῦ μου. ἢ τοῦτο βούλεται εἰπεῖν, ὅτι οὕτως ἐτίμησα ὡς καὶ ἀπὸ τοῦ θεοῦ τοῦτο εἶπεν. καὶ γὰρ ἔθος αὐτοῖς ἐπ' ὀνόματι τῶν θεῶν τοὺς παῖδας ὀνομάζειν. ἐπειδὴ καὶ ἐξ ἀνθρώπων ἐποίουν θεούς. οὕτως ὁ ὄβελος, οὕτω καὶ ὁ Βήλαιος ἐκλήθη τις παρ' ἡμῖν. ἐπειδὴ γὰρ εἶδον οἱ δαίμονες ταύτῃ τιμωμένους τοὺς ἀνθρώπους, καὶ θεοὺς καλουμένους, καὶ αὐτοὶ τοῦτο ἐζήλωσαν. τίνος ἕνεκεν φησι, Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ; ὅτι θεοῦ δύναμιν εἶχε. τοῦτο γὰρ παρ' ἐκείνοις μεγίστη τιμή. καὶ ἠνείχετο Δανιὴλ δι' ἐκείνους τοῦτο καλεῖσθαι, οὐδαμοῦ δὲ ἐνταῦθα αὐτοῦ μνημονεύων, Βαλτάσαρ αὐτὸν καλεῖ. ἀλλὰ τί;

qui ſpiritum Dei habet in ſemetipſo : & ſomnium coram eo dixi. Donec, inquit, *alius ingreſſus eſt in conſpectu meo.* Quaſi immemor ita loquitur. Etenim multi anni præterierant, & citò memoriam amiſerat, vtpote tot curis obſeſſus, & cum tantis deliciis viuens. Porro dicere alium, ſignum eſt eum valde illius oblitum eſſe. *Secundùm nomen*, inquit, *Dei mei.* An hoc dicere vult : ſic eum honoraui, vt à Deo nomen hoc illi indiderim. Mos enim erat illis, Deorum nomine pueros ſuos nominare. Quandoquidem & ex hominibus Deos faciebant. Sic Belus, ſic & Belias quidam apud nos appellatus eſt. Scilicet poſtquam dæmones viderunt ea ratione homines honorari, ac Deos vocari; & ipſi id æmulati ſunt. Cuius gratiâ ait : *Daniel cuius nomen Baltaſar?* Quia Dei virtutem habebat. Id enim apud illos maximo honori erat. Et ſuſtinebat Daniel ſe ab illis eo nomine inſigniri : nuſquam autem hîc, dum ſui mentionem facit, Baltaſarem ſeipſum nominat : ſed quid?

Ego Daniel. Quanto honore dignatus est Regis filius; tanto & iste: etiam ante experimentum, ex ipso aspectu visus est admirabilis. Nec verò, inquit, ex illius virtute proferebat ea quæ loquebatur: sed *spiritum Dei sanctum habebat in semetipso.* Non illum spiritum, quem nos vocamus Paracletum; sed velut si quis dixerit, inspirationem: erat numine afflatus. 6. *Baltasar*, inquit, *princeps incantatorum.* Primus ipsorum erat, inquit. Vide quot indicia declarent eum cæteris præstantiorem esse. *Baltasar princeps incantatorum, quem cognoui, quod spiritus Dei sanctus in te.* Qui melior, ceterisque potior es. *Quem ego cognoui.* Ne iterum redigeret eum ad ne-

Dan. 2. 30. cessitatem dicendi: *Et ego autem non in sapientia quæ sit in me.* His verbis maximè eum attractum iri sperauit: & id ante alia dixit. Nam ne, quoniam te vocaui principem incantatorum, existimes ideo me dixisse, quasi testarer ista per humanam sapientiam enarrari: princeps quidem es incantatorum; noui autem

ἐγὼ Δανιήλ. ὅσης ἠξιώθη τιμῆς ὁ τοῦ βασιλέως υἱός, τοσαύτης καὶ οὗτος· καὶ πρὸ τῆς πείρας ἔδοξεν εἶναι θαυμαστὸς ἀπ' αὐτῆς τῆς ὄψεως. οὐ μὴν τῇ ἐκείνου δυνάμει, φησί, ἔλεγεν ἃ ἔλεγεν, ἀλλὰ πνεῦμα θεοῦ ἅγιον εἶχεν ἐν ἑαυτῷ. πνεῦμα οὐχὶ τοῦτο ὃ λέγομεν ἡμεῖς τὸν παράκλητον, ἀλλ' ὡς ἂν εἴποι τις ἐπίπνοιαν, ἔνθους ἦν. βαλτάσαρ, φησίν, ὁ ἄρχων τῶν ἐπαοιδῶν. πρῶτος αὐτῶν ἦν, φησί. ὅρα πόσα τεκμήεια τοῦ βελτίονα αὐτὸν εἶναι. βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἔγνων ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί. ὁ βελτίων, ὁ πάντων κρείττων. ὃν ἐγὼ ἔγνωκα. ἵνα γὰρ μὴ πάλιν εἰς ἀνάγκην καταστήσῃ τοῦ εἰπεῖν, καὶ ἐγὼ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί, τούτῳ μάλιστα ἐπισπάσασθαι αὐτὸν προσεδόκησεν, καὶ τοῦτο πρὸ τῶν ἄλλων εἶπεν. μὴ γὰρ ἐπειδὴ ἄρχοντα εἶπον ἐπαοιδῶν, νομίσῃς διὰ τοῦτό με εἰρηκέναι ὡς μαρτυροῦντα ἀνθρωπίνῃ σοφίᾳ ταῦτα λέγεσθαι. ἄρχων μὲν εἶ τῶν ἐπαοιδῶν. οἶδα δὲ ὅτι ὑπὸ

θείας δυνάμεως κινούμενος ἅπαντα λέγεις. ἔγνων διὰ τῆς πείρας τῶν πραγμάτων. καὶ πᾶν μυστήριον, φησί, οὐκ ἀδυνατεῖ σοι. τοιαῦτα γὰρ τὰ θεῖα. τὰ μὲν γὰρ ἀνθρώπινα ἀτελῆ· τὰ δὲ τοῦ θεοῦ οὐκ ἔτι. ἄκουσον οὖν τὴν ὅρασιν τοῦ ἐνυπνίου μου, οὗ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπέ μοι, καὶ ταῖς ὁράσεις τῆς κεφαλῆς μου ἐπὶ τῆς κοίτης μου. τί οὖν φησιν; ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἐν μέσῳ τῆς γῆς, καὶ τὸ ὕψος αὐτοῦ πολύ. ἐμεγαλύνθη τὸ δένδρον καὶ ἴσχυσε, καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ κύτος αὐτοῦ εἰς τὰ πέρατα πάσης τῆς γῆς, καὶ τὰ φύλλα αὐτοῦ ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πάντων ἐν αὐτῷ, καὶ ὑποκάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατῴκουν τὰ ὄρνεα τοῦ οὐρανοῦ, ἐξ αὐτοῦ ἐτρέφετο πᾶσα σάρξ. τί βούλεται ἡ ὄψις. πάλιν τὸ πρόσκαιρον δείκνυται τῶν πραγμάτων τῶν ἀνθρωπίνων. τὰ πετεινά, φησί, καὶ τὰ θηρία ἐν αὐτῷ σκιᾶς ἀπέλαυον, καὶ ᾤκουν, καὶ τροφὴ αὐτοῖς ἐκεῖθεν ἦν. τὴν ἀρχὴν αὐτοῦ λέγει πάσης ἐπέχουσαν τῆς οἰκουμένης. πρότερον μὲν οὖν δι'

te à diuina vi motum, omnia dicere: ex rerum experientia cognoui. *Et omne mysterium*, inquit, *non est impoßibile tibi.* Huiusmodi enim sunt res diuinæ. Humanæ quippe res imperfectæ sunt; Dei autem non item. *Audi igitur visionem somnij mei, quod vidi; & coniecturam eius dic mihi, & visiones capitis mei in cubili meo.* Quid igitur ait? 7. *Videbam, & ecce arbor in medio terræ, & altitudo eius multa.* 8. *Magnificata est arbor, & inualuit: & altitudo eius peruenit vsque ad cœlum: & moles eius ad terminos vniuersæ terræ:* 9. *& folia eius pulcra: & fructus eius multus: & cibus vniuersorum in ea: & subter eam bestiæ agrestes degebant: & in ramis eius habitabant aues cæli: ex ea vescebatur omnis caro.* Quid sibi vult visio? Iterum temporarium rerum humanarum ostenditur. In ea, inquit, volucres & bestiæ, vmbra fruebantur, & habitabant; & ipsis esca inde erat. Imperium illius dicit; quod vniuersum terrarum orbem obtinebat. Priùs itaque per imaginem,

nunc verò per arborem ipsi futura ostenduntur. Cur enim non missus est Daniel, qui hæc diceret? Quia sic fide dignior futurus erat sermo, & terribilior, rebus ante oculos adductis.) Vt intelligas quod qui plantis dat incrementum, idem regnum latenter ac non sentientibus nobis adauget. 10. *Videbam in cubili meo: & ecce Ir, & sanctus de cælo descendit in fortitudine, & sic dixit:* 11. *excidite arborem, euellite ramos eius, & excutite folia eius, & dispergite fructum eius. Diffugiant bestiæ quæ sub ea sunt, & aues de ramis eius.* 12. *verumtamen germen radicum eius in terra sinite: & in vinculo ferreo, ac æreo, & in herba quæ foris est, & in rore cæli stabulabitur: & cum bestiis pars eius in herba terræ.* 13. *cor eius ab hominibus commutabitur: & cor bestiæ dabitur ei: & septem tempora mutabuntur super eum.* 14. *per coniecturam Ir sermo: & verbum sanctorum interrogatio: vt cognoscant viuentes, quòd Dominus est altißimus*

εἰκόνος, νυνὶ δὲ διὰ δένδρου δείκνυται αὐτῷ τὰ πράγματα. διὰ τί γὰρ μὴ ἔπεμψε τὸν δανιὴλ ἐροῦντα ταῦτα; ὅτι οὕτως ἀξιοπιστότερος ὁ λόγος ἔμελλεν ἔσεσθαι, καὶ φοβερώτερος, ὑπ' ὄψιν τῶν πραγμάτων ἀγομένων. ἵνα μάθῃς ὅτι ὁ αὔξων τὰ φυτά, οὗτος καὶ τὴν βασιλείαν λανθανόντως, καὶ οὐκ εἰδότων ἡμῶν. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου, καὶ ἰδοὺ εἶρ, καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη ἐν ἰσχύι, καὶ οὕτως εἶπεν· ἐκκόψατε τὸ δένδρον, ἐκτίλατε τοὺς κλάδους αὐτοῦ, καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ, καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ. σαλευθήτωσαν τὰ θηρία ὑποκάτωθεν αὐτοῦ, καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ. πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε· καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς. ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν. διὰ συγκρίματος εἶρ ὁ λόγος, καὶ ῥῆμα ἁγίων τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες, ὅτι κύριός ἐστιν ὁ

ὕψιστος τῆς βασιλείας, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν, καὶ ἐξουδένημα ἀνθρώπων ἀναστήσει ἐπ' αὐτήν. ὅρα· φησὶ εἶρ φῶς μέγα, καὶ λαμπηδόνα· καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη, καὶ ἐφώνησεν ἐν ἰσχύϊ, ὥστε τοῦτον ἐκπλῆξαι, καὶ οὕτως εἶπεν, ἐκκόψατε τὸ δένδρον, πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε. ἀλλ' ἐπειδὴ φθείρεσθαι εἴωθεν ἡ φυὴ πολλάκις, οὕτως ἐάσατε, φησί, ὡς ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ. καὶ ἑπτὰ καιροί, φησί, ἐπ' αὐτὸν ἀλλαγήσονται, καὶ μετὰ τῶν θηρίων ἡ κατοίκησις αὐτοῦ. ὅτι γὰρ περὶ ἀνθρώπου ταῦτα ἦν, τὰ ὕστερα ἐδήλωσεν. καὶ καρδία, φησί, θηρίου δοθήσεται αὐτῷ. ὅτι διὰ συγκρίματος εἶρ ὁ λόγος, αὐτόθεν οὐ δυνατὸς φωτισθῆναι, φησί, ἀλλὰ δεῖ τοῦ ἑρμηνεύοντος. καὶ ῥῆμα, φησί, ἁγίων τὸ ἐπερώτημα, καὶ ἅγιοι δυνήσονται τοῦτο εἰπεῖν· ἢ τοῦτο λέγει, ἢ ἐκεῖνο ὅτι τὴν ἐρώτησιν δοῦναι, καὶ τὴν αἰτίαν, δι' ἣν ταῦτα γίνεται, καὶ διὰ ἀποκρίσεως ἐφωτίσθη. ἵνα γνῶσι, φησί, οἱ ζῶντες, ὅτι κύριός ἐστιν ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων. αὕτη ἡ αἰτία. ὁρᾷς

regni, & cuicumque visum fuerit dabit illud; & quod pro nihilo habetur ab hominibus, eriget super illud. Vide: Ir vocat lumen magnum, & splendorem. *Et sanctus è cælo descendit, & clamauit in fortitudine;* ita vt illum perterruerit. *Et sic dixit: excidite arborem: verumtamen germen radicum eius in terra sinite.* Sed quoniam plerumque corrumpi solet germen; sic *sinite*, inquit, *vt in vinculo ferreo & æreo. Et septem*, inquit, *tempora super eum mutabuntur. Et cum bestiis habitatio eius.* Quòd enim hæc de homine intelligenda sint, declarant quæ sequuntur. *Et cor*, inquit, *bestiæ dabitur ei.* Quia *per coniecturam Ir sermo:* per se non potest illustrari, inquit; sed interprete opus est. *Et verbum*, inquit, *sanctorum interrogatio:* & sancti poterunt illud dicere: vel hoc dicit; vel istud: quod nempe interrogationem reddere; & caussam propter quam ista fiunt, & per responsionem patefactum est. *Vt cognoscant*, inquit, *viuentes quòd Dominus est altißimus regni hominum.* Hæc est caussa. Vi-

des vt Deus prouideat hominibus? Vtque non intra Iudæos conclusum erat ipsius imperium? 15. *Hoc somnium vidi ego rex Nabuchodonosor: & tu Baltasar coniecturam dic: quia omnes sapientes regni mei non possunt coniecturam eius declarare mihi. Tu autem potes; quia spiritus Dei sanctus in te habitat. Quia omnes sapientes regni mei non possunt.* Nouerat id iterum lætitiâ affecturum Danielem; omnes scilicet confiteri se victos fuisse: non propter gloriam suam, sed vt Dei potestas rursus prædicaretur. *Tu autem*, inquit, *potes: dic*, qua de caussa? *Quia spiritus Dei in te est.* Vide hinc illum incipere, & ibi desinere. 17. *Arbor quam vidisti, illa magnificata & corroborata, cuius altitudo peruenit in cælum, & moles eius in vniuersam terram: 18. & folia eius florentia, & fructus eius multus, & esca omnibus in ea: subter eam habitabant bestiæ agrestes, & in ramis eius degebant volucres cæli. 19. tu es ô Rex; quia magnificatus es & inualuisti, & magnitudo tua ma-*

πῶς προνοεῖ τῶν ἀνθρώπων ὁ θεός; πῶς οὐκ εἰς ἰουδαίοις συγκέκλειστο αὐτοῦ ἡ ἀρχή; τοῦτο τὸ ἐνύπνιον εἶδον ἐγὼ ὁ βασιλεὺς ναβουχοδονόσωρ, καὶ σὺ βαλτάσαρ σύγκριμα εἰπὲ, ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δηλῶσαί μοι. σὺ δὲ δύνασαι, ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί. ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται. ᾔδει τοῦτο πάλιν εὐφραῖνον τὸν δανιὴλ, τὸ πάντας ὁμολογῆσαι ἡττῆσθαι, οὐ διὰ τὴν αὐτοῦ δόξαν, ἀλλὰ διὰ τὸ τὴν τοῦ θεοῦ δύναμιν κηρύττεσθαι πάλιν. σὺ δὲ δύνασαι, φησὶ, εἰπέ. διὰ τί; ὅτι πνεῦμα θεοῦ ἐν σοί. ὅρα ἐντεῦθεν ἀρξάμενον, καὶ ἐντεῦθεν λήξαντα. τὸ δένδρον ὃ εἶδες τὸ μεγαλυνθὲν καὶ τὸ ἰσχυκὸς, οὗ τὸ ὕψος ἔφθασεν εἰς τὸν οὐρανὸν, καὶ τὸ κύτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν, καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ, ὑπὸ κάτω αὐτοῦ κατῴκει τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ πετεινὰ τοῦ οὐρανοῦ. σὺ εἶ βασιλεῦ, ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ μεγαλωσύνη σου ἐμεγα-

χαλκώθη, καὶ ἔφθασεν εἰς τὸν οὐρανόν, καὶ ἡ κυρεία σου εἰς τὰ πέρατα τῆς γῆς. καὶ ὅτι εἶδεν ὁ βασιλεὺς εἶρ, καὶ ἅγιον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν· ἐκτίλατε τὸ δένδρον, καὶ διαφθείρατε αὐτό, πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ, καὶ ἐν χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται, καὶ μετὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ, ἕως ἑπτὰ καιροὶ ἀλλαγῶσιν ἐπ' αὐτόν. τοῦτο ἡ σύγκρισις αὐτοῦ, βασιλεῦ, καὶ σύγκριμα ὑψίστου ἐστὶν ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα, καί σε ἐκδιώξουσιν ἀπὸ τῶν ἀνθρώπων, καὶ μετὰ θηρίων ἔσται ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ βαφήσεται τὸ σῶμά σου, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σοί, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν. καὶ ὅτι εἶπεν, ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου, ἡ βασιλεία σου σοὶ μενεῖ, ἀφ' ἧς ἂν γνῷς τὴν ἐξουσίαν τὴν οὐράνιον. τί οὖν φησι; πῶς ἔσται ἡ λύσις τοῦ

gnificata est, & peruenit vsque in cœlum; & dominatio tua in terminos terræ. 20. & quod vidit Rex Ir, & sanctum descendentem è cœlo; & dixit: euellite arborem, & euertite illam: verumtamen germen radicum eius in terra sinite: & in vinculo ferreo & æreo, & in herba quæ foris est; & in rore cœli stabulabitur; & cum bestiis agrestibus pars eius; donec septem tempora mutentur super eum. 21. hoc est coniectura eius, ô Rex: & sententia Altissimi est, quæ peruenit super dominum meum Regem: 22. & te expellent ab hominibus; & cum bestiis erit habitatio tua: & fœno vt bouem pascent te; & à rore cœli tingetur corpus tuum: & septem tempora mutabuntur super te; donec scias quòd dominatur Altissimus in regnum hominum, & cui visum fuerit dabit illud. 23. & quia dixit: sinite germen radicum arboris; regnum tuum tibi manebit, ex quo cognoueris potestatem cœlestem. Quid igitur ait? Quo pacto calamitatis solutio con-

tinget? 24. *Propter hoc, Rex, consilium meum placeat tibi; & peccata tua in eleemosynis redime, & iniquitates tuas in miserationibus pauperum. Forsitan erit longanimitas delictis tuis.* Quid ais: *Forsitan erit?* Et medicinæ vim sub dubium quoddam constituis? Non propterea dixi: *Forsitan;* neque dubitans; absit; sed illi metum incutere volens, veluti supra omnem medelam & omnem veniam peccasset. Nam si etiam postquam hoc illi dictum fuit, in insania tamen permansit: multò magis si absque ambiguitate sermo fuisset. Etenim id quoque alibi vult Deus, cùm per Pro-
Ier. 2. 22. phetam dicit: *Si laueris in nitro, maculata es coram me, dicit Dominus.* Et i-
Ier. 13. 23. terum: *Si mutabit Æthiops pellem, & pardus varietates suas.* Sicut igitur ibi excludit pœnitentiam, non vt excludat, sed vt magis homines terreat: ita & hîc, volens ostendere magnitudinem eorum quæ peccauerat, dixit: *Forsitan.* Quam autem ob caussam non dixit: humiliter de te senti;

δίνου; διὰ τοῦτο βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. ἴσως ἔσται μακροθυμία τοῖς παραπτώμασί σου. τί λέγεις, ἴσως ἔσται; καὶ τοῦ φαρμάκου τὴν ἰσχὺν ὑπό τινα ἀμφιβολίαν καθιστᾶς; οὐ διὰ τοῦτο εἶπον, ἴσως, οὐκ ἀμφιβάλλων, μὴ γένοιτο, ἀλλ᾽ ἐκείνῳ τὸν φόβον ἐπιτεῖναι βουλόμενος, ὡς πάσης θεραπείας καὶ πάσης συγγνώμης ἀνώτερα αὐτοῦ ἡμαρτηκότος. εἰ γὰρ καὶ μετὰ τὸ οὕτω λεχθῆναι, ἐπέμεινε τῇ μανίᾳ, πολλῷ μᾶλλον εἰ μὴ μετὰ ἀμφιβολίας ἐρρέθη. καὶ γὰρ καὶ ἀλλαχοῦ τοῦτο βούλεται διὰ τοῦ προφήτου λέγων· ἐὰν ἀποπλυνῇς ἐν νίτρῳ, κεκηλίδωσαι ἐναντίον μου, λέγει κύριος. καὶ πάλιν, εἰ ἀλλάξει αἰθίοψ τὸ δέρμα, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς. ὥσπερ οὖν ἐκεῖ ἀποκλείει τὴν μετάνοιαν, οὐχ ἵνα ἀποκλείσῃ, ἀλλ᾽ ἵνα μᾶλλον φοβήσῃ· οὕτω καὶ ἐνταῦθα βουλόμενος δεῖξαι τὸ μέγεθος τῶν ἡμαρτημένων, εἶπεν· ἴσως. τίνος δὲ ἕνεκεν οὐκ εἶπε, ταπεινοφρόνησον, ἐπίγνωθι

τὸν θεόν; Εἰ γὰρ διὰ τοῦτο ταῦτα πάσχει, καθὼς καὶ αὐτός φησι, τίνος ἕνεκεν ἑτέρα παραινεῖς; εἶπεν, ἵνα γνῶσιν ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων. τί οὖν; ἵνα ἕτεροι σωφρονισθῶσιν, ἐγὼ κολάζομαι; οὐχί, ἀλλ' ἐν μὲν τῷ ὀνείρῳ, ἅτε μὴ βουλόμενος ἐμφῆναι τὸ σαφές, εἶπεν, ἵνα γνῶσιν οἱ ζῶντες· ὁ δὲ Δανιήλ φησι, ἕως οὗ σὺ γνῷς, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν. εἶδες πῶς ἐνταῦθα περὶ ταπεινοφροσύνης διελέχθη; ἀλλ' ἐν μὲν τῷ ὀνείρῳ, φησί, τοῦτο τὸ φάρμακον· ἐγὼ δὲ καὶ ἕτερον λέγω. καθάπερ ἐπὶ ἄρχοντος ὀργιζομένου, αὐτὸς μὲν οὐδὲν ἂν εἴποι, τῶν δὲ οἰκείων τις τῶν ἐκείνου προσελθὼν τῷ ὑπευθύνῳ λέγοι, τὸ ποίησον, καὶ τό, δὸς χρήματα, καὶ πολλάκις, δυνάμεθα ἐξαρπάσαι σε τῶν ἐπικειμένων κακῶν. ἔτι τοῦ λόγου ἐν στόματι βασιλέως ὄντος, φωνὴ ἀπὸ τοῦ οὐρανοῦ ἐγένετο· σοὶ λέγεται ναβουχοδονόσωρ βασιλεῦ. ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξουσί σε, καὶ μετὰ

Deum agnoſce? Nam ſi propter hoc iſta patitur, vt & ipſe ait; quare alia adhortaris? Dixit; *Vt cognoſcant, quòd dominatur Altiſsimus in regnum hominum.* Quid ergo? Vt alij emendentur, ego punior? Nullatenus: ſed in ſomnio quidem, cùm non vellet apertè rem oſtendere, dixit: *Vt cognoſcant viuentes:* Daniel autem ait: *donec tu cognoſcas, quòd dominatur Altiſsimus in regnum hominum, & cui viſum fuerit dabit illud.* Vides quomodo hîc de humilitate diſſeruerit? At in ſomnio quidem, inquit, hoc remedium dictum eſt: ego autem & aliud affero. Quemadmodum quando iratus eſt Magiſtratus, ipſe quidem nihil dixerit; familiarium autem illius quidam accedens ad reum dicet: hoc fac, & hoc; da pecunias, & ſæpe; vt poſſimus eripere te ab impendentibus malis. 28. *Cùm adhuc ſermo eſſet in ore Regis, vox de cælo facta eſt: tibi dicitur Nabuchodonoſor rex: regnum tuum tranſiit à te.* 29. *& ab hominibus expellent te, & cum*

bestiis agrestibus erit habitatio tua, & fœno vt bouem cibabunt te: & septem tempora mutabuntur super te, donec cognoscas quia dominatur Altißimus regno hominum, & cui visum fuerit dabit illud. 30. *Eâdem horâ sermo completus est super Nabuchodonosorem: & ab hominibus expulsus est, & fœnum vt bos comedit, & à rore cæli corpus eius infectum est, donec capilli eius vt leonum pili creuerunt, & vngues eius instar vnguium auis.* Aspice sententiam quæ desuper fertur ad ipsum Nabuchodonosorem. Et ad finem deuenere res. Ignorasti, inquit, humanam nobilitatem, in bestiarum ignobilitatem decidisti. Nihil ignominiosius ista re fieri poterat, neque si ad paupertatem, neque si ad vincula, neque si ad aliud quid eiusmodi illum redegisset. Porro nullatenus eum à naturali nobilitate eiecit; nec corpus illius in bestiæ naturam mutauit: sed illud, quo ab irrationalibus distabat, in feritatem transtulit. Quomodo igitur? Vt & reliqui discant

θηρίων ἀγρίων ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε· καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σοὶ, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν. αὐτῇ τῇ ὥρᾳ συντελέσθη ὁ λόγος ἐπὶ ναβουχοδονόσωρ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιεν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέου. ὅρα τὴν ἀπόφασιν ἄνωθεν φερομένην πρὸς αὐτὸν τὸν ναβουχοδονόσωρ. καὶ εἰς τέλος ἐξέβη τὰ πράγματα. ἠγνόησας, φησὶ, τὴν ἀνθρωπίνην εὐγένειαν, κατέπεσας πρὸς θηρίων ἀτιμίαν. οὐδὲν ἀτιμότερον γένοιτ᾽ ἂν τούτου, οὔτε εἰ πένητα, οὔτε εἰ δεσπότην, οὔτε εἰ ἄλλό τι τοιοῦτον εἰργάσατο αὐτόν. οὐδαμῶς ἂν αὐτὸν τῆς κατὰ τὴν φύσιν εὐγενείας ἐξέβαλεν· οὐ τὸ σῶμα πρὸς θηρίου φύσιν μεταβαλών, ἀλλ᾽ ὃ τῶν ἀλόγων διέστηκε, τοῦτο πρὸς θηριωδίαν μεταστήσας. πῶς οὖν; ἵνα καὶ οἱ λοιποὶ μάθωσιν

ἀπὸ τῆς τροφῆς, ἀπὸ τῆς ὄψεως. τί δὲ παιδευόμεθα ἐκ τούτων; ὅτι τούτων οὐδὲν ἄμεινον διακείμεθα, κἂν μὴ τὰ αὐτὰ γίνηται ἐφ' ἡμῶν, ὅταν εἰς ὑπερηφανίαν, ἢ τὸ θηριῶδες ἐξολισθήσωμεν πάθος. πόσοι νῦν κατὰ τὸν ναβουχοδονόσωρ ἐκεῖνον θηρίου διάνοιαν ἔχουσι; ἄκουσον γοῦν τοῦ ἰωάννου λέγοντος· ὄφεις γεννήματα ἐχιδνῶν. καὶ πάλιν ἑτέρου προφήτου λέγοντος· ἵπποι θηλυμανεῖς ἐγένοντο, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζον. καὶ ἑτέρου πάλιν· κύνες ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν. καὶ ἀλλαχοῦ πάλιν ἀλώπεκας καλοῦντος, καὶ ἄλλου δράκοντας, καὶ βασιλίσκους. πολλῷ δὲ χεῖρον ἐν ταύτῃ ὄντας τῇ ζωῇ ἐκθηριοῦσθαι, ἢ τὰ τοῦ ναβουχοδονόσωρ παθεῖν. ἐκεῖνος μὲν γὰρ οὐδὲν παρεῖχε δεινὸν εἰς ψυχήν· ἡμεῖς δὲ οὕτω μυρία ἁμαρτήματα συλλέγοντες, πόσῳ χείρους ἐσμὲν ἤδη, καθὰ λέλεκται. μετέβαλον δὲ οἱ τῶν ἔξωθεν ἀνθρώπους εἰς θηρία. ἀλλ' ἴδωμεν πῶς; ἐκεῖνα μὲν

ex illius cibo, & ex illius aſpectu. Quid autem per hæc docemur? Nempe quòd etſi eadem nobis non eueniant, tamen meliùs illo non ſumus affecti, quando in ſuperbiam, aut in belluinam perturbationem delabimur. Quot nunc non ſecùs ac Nabuchodonoſor ille, beſtiæ mentem habent? Audi itaque Iohannem dicentem; *Serpentes genimina viperarum*: & rurſus alium prophetam aientem; *Equi furentes in feminas facti ſunt; vnuſquiſque ad vxorem proximi hinniebant*: & alium adhuc; *Canes muti non valentes latrare*: & alium rurſus *vulpes* appellantem: & alium, *dracones* ac *baſiliſcos*. Multò autem deterius eſt, cùm in hac vita ſumus, efferari; quàm eadem cum Nabuchodonoſore pati. Ille ſiquidem nihil mali in animum admittebat: nos autem dum ita innumera peccata colligimus, quanto peiores ſumus iam, ſicut dictum eſt. Qui autem apud Ethnicos ſapientes habebantur, mutabant homines in beſtias. Sed videamus quomodo? Gentilium quidem meta-

Matth. 23. 33.

Ierem. 5. 8.

Iſ. 56. 10.

Ezech. 13. 4.

Pſ. 90. 13.

morphoses, fabulæ erant; ista autem, vera sunt. Qua enim de caussa homines illos mutauerunt? Nullâ: at Scriptura caussam quoque profert: *Vt cognoscant omnes, quia dominatur Altissimus regno hominum.* Vides vt omnia Deo possibilia sint? etiam ex hominibus bestias facere, & mentem mutare? Cogita quanta res esset, eum qui antea in tanto splendore vixisset, cernere cum bestiis degentem, nudum. Non enim vtique formam mutauit; quandoquidem id horrendum non fuisset. Cor autem bestiæ accepisse non ideo dicit, quòd mente fuerit alienatus; sed quòd humanum animum habens, cuncta sentiret. Nam si conuersus fuisset in bestiam, ea quæ eueniebant non cognouisset. Quid igitur significat; *Cor bestiæ datum est ei?* Id est, agrestis ac ferus euasit, nec volebat cum hominibus versari: vel etiam, timebat cum hominibus degere; vel, homines vt feras metuebat. Quid fieri possit illo sublimius? Quid eodem humilius? *Et expulsus est ab hominibus.* Nus-

μῦθος, ταῦτα δὲ ἀλήθεια. τίνος γὰρ ἕνεκεν ἐκείνους μετέβαλον; δι' οὐδέν. ἡ δὲ γραφὴ καὶ τὴν αἰτίαν φησί· ἵνα γνῶσιν πάντες, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων. ὁρᾷς πῶς πάντα τῷ θεῷ δυνατά; καὶ ἐξ ἀνθρώπων θηρία ποιῆσαι, καὶ διάνοιαν μεταβαλεῖν; ἐννόει ὅσον ἦν ὁρᾷν τὸν ἐν τοσαύτῃ πρὸ τούτου λαμπρότητι, μετὰ τῶν θηρίων διαιτώμενον, γυμνόν. οὐ γὰρ δὴ τὴν μορφὴν μετέβαλεν, ἐπεὶ οὐδὲν ἦν φρικτόν. τὸ δὲ θηρίου καρδίαν λαβεῖν, οὐ τοῦτό φησι, ὅτι ἐξεστήκει τῆς διανοίας, ἀλλ' ὅτι ἀνθρωπίνην ἔχων ψυχὴν ᾐσθάνετο τῶν πραγμάτων. οὐκ ἂν εἰ μετεβλήθη εἰς θηρίον, ἔγνω τὰ συμβαίνοντα. τί οὖν ἐστι, καρδία θηρίου ἐδόθη αὐτῷ; ἐξηγριώθη· τουτέστιν, οὐδὲ ἐβούλετο μετὰ ἀνθρώπων εἶναι, ἢ καὶ δεδοίκει μετὰ ἀνθρώπων εἶναι, ἢ τοὺς ἀνθρώπους καθάπερ τὰ θηρία. τί γένοιτ' ἂν ὑψηλότερον ἐκείνου; τί ταπεινότερον αὐτοῦ; καὶ ἐξεδιώχθη ἀπὸ ἀνθρώπων; οὐ-

διὰ μοῦ ἡ δύναμις αὐτοῦ περιέστη. οὐκ ἦν σαρκοφάγον θηρίον, ἀλλὰ χόρτον ἤσθιεν, καὶ ἡ εἰκὼν τοῦ ἀλόγου. ἵνα πιστεύσῃς, φησίν· ὡς ἐπὶ συνήθη τροφὴν ἕξεις τὸν χόρτον. πῶς αὐτὸν οὐ κατέφαγε τὰ θηρία; πῶς ἴσχυσε τὸ σῶμα πέψαι; πῶς οὐ διεφθάρη; οὐ γὰρ ὀλίγος ὁ χρόνος ἦν. περιῄει, πᾶσιν ὑπόδειγμα ταπεινοφροσύνης, ἐν ἑαυτῷ τὰ γνωρίσματα φέρων τῆς κολάσεως, καθάπερ στιγματίας. καὶ μὴν βέλτιον ἦν, ἴσως εἴποι τις ἄν, μετὰ ἀνθρώπων αὐτὸν εἶναι, καὶ τοῦτο παθεῖν· ἀλλ' ὥστε ἐπιταθῆναι τὰ τῆς τιμωρίας αὐτῷ· τοῦτο γέγονεν; ὁ γὰρ σωφρονισμὸς ὁμοίως ἔμενεν, πάντων ἀπαγγελλόντων τὰ κατ' αὐτὸν, καὶ ἴσως αὐτῶν θεωμένων ἔξω. τοῦτο δὲ ἰδεῖν πολλῷ φοβερώτερον ἦν. καὶ οὐδὲ ὁ χρόνος ὀλίγος ἦν, ἀλλὰ καὶ αὐτὸς σαββατικός. ἑπτὰ γὰρ καιροί, φησί, ἀλλαγήσονται. τρία ἥμισυ ἔτη. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν, ἐγώ, φησί, Ναβουχοδονόσωρ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ

quam illius potentia defendit illum. Non erat carniuora bestia; sed fœnum comedebat, & erat imago bruti. Vt credas, inquit; velut pro consueto pabulo habebis herbam. Quomodo feræ illum non deuorarunt? Quomodo corpus illius cibos eiusmodi potuit concoquere? Quomodo non periit? Neque enim breue tempus intercessit: circuibat, omnibus factus exemplum humilitatis; in seipso ferens indicia punitionis, quemadmodum seruus notis compunctus. At certè præstitisset, dixerit fortasse aliquis, cum hominibus illum versari, atque id pati: sed vt pœna ipsi adaugeretur, hoc factum est. Nam castigatio perinde manebat, cùm quæ ipsi euenerant omnes enuntiarent, cúmque ipsum æquè viderent foris: id autem cernere multo terribilius erat. nec tempus breue fuit; sed & ipsum Sabbaticum. Nam *septem tempora*, inquit, *mutabuntur*. Id est tres anni cum dimidio. 31. *Et post finem dierum ego*, inquit, *Nabuchodonosor oculos meos in cœlum leuaui, & mens*

mea reuersa est ad me : & Altißimum benedixi , & viuentem in sæcula laudaui , & glorificaui ; quia potestas eius potestas æterna , & regnum eius in generationem & generationem. 32. & omnes habitatores terræ, quasi nihilum reputati sunt. Et iuxta voluntatem suam facit , in virtute cœli , & in habitatione terræ : & non est qui resistat manui eius , & dicat ei : quare fecisti ? Oculos meos , inquit , *in cælum leuaui.* Hoc est adiit & precatus est Deum , & inde auxilium quæsiuit. Quamquam tempus completum foret , non confidebat tamen. Sicut enim in ipsius potestate erat , vt non fineret res in effectum deuenire : ita etiam , si tempore quod definitum fuerat completo , incorrectus mansisset , nihil ipsi profuisset illa temporis definitio. Nam sententia Dei non ad necessitatem , sed ad res nostras exprimitur. Ita
Dan. 9. & Daniel , quamuis tempus impletum esset , meritò orat ; ne accedente malitiâ , adhuc pœnæ ac tempori adiungatur quid. Nam sicut ex humanitate id contin-

φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν, καὶ τὸν ὕψιστον ηὐλόγησα, καὶ τὸν ζῶντα εἰς τοὺς αἰῶνας ᾔνεσα, καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν, ὡς οὐδὲν ἐλογίσθησαν. καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς. καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ, τί ἐποίησας; τοὺς ὀφθαλμούς μου, φησί, εἰς τὸν οὐρανὸν ἀνέλαβον. τουτέστιν, προσῆλθε καὶ ηὔξατο τῷ θεῷ, καὶ ἐκεῖθεν τὴν βοήθειαν ἐζήτησε. καίτοι τοῦ χρόνου πληρωθέντος, οὐκ ἐθάρρει. καθάπερ γὰρ κύριος ἦν μὴ ἀφεῖναι εἰς πέραν τὰ πράγματα ἐλθεῖν, οὕτως εἰ καὶ τοῦ χρόνου τοῦ ὁρισθέντος πληρωθέντος ἔμελλεν ἀδιόρθωτος μένειν, οὐδὲν αὐτὸν ὠφελῆσαι ὁ ὁρισμὸς εἶχεν. οὐ γὰρ κατ' ἀνάγκην ἡ ἀπόφασις τοῦ θεοῦ, ἀλλὰ πρὸς τὰ ἡμέτερα πράγματα τυποῦται. οὕτω καὶ ὁ Δανιήλ, εἰ καὶ ἐπληρώθη ὁ χρόνος, εἰκότως εὔχεται, μήποτε κακίας προσγινομένης, προστεθῇ πάλιν. ὥσπερ γὰρ ἐπὶ φιλανθρωπίας γίνεται τοῦ-

το, ὥσπερ ἐπὶ τοῦ ἐζεκίου, οὕτω καὶ
ἐπὶ τιμωρίας εἰκὸς γίνεσθαι,
καθάπερ καὶ ἐπὶ τῶν ἰουδαίων, ἐ-
βούλετο αὐτοὺς εὐθέως εἰς παλαι-
στίνην ἀπελθεῖν, ἐκεῖνοι τεσσα-
ράκοντα ἔτη προστεθῆναι αὐτοῖς
ἐποίησαν διὰ τῆς παρανομίας. ὅρα
δὲ αὐτὸν πρὸς τὸν θεὸν φεύγοντα.
ἀνέβλεψα, φησὶ, εἰς τὸν οὐρανὸν, καὶ
γέγονα πάλιν ἄνθρωπος· καὶ ἡ μορ-
φή μου ἐπέστρεψεν ἐπ' ἐμέ. ὥσ-
περ ἡ μορφὴ αὐτοῦ ἐξήλλακτο μὲν
τῆς ἀνθρωπείας, οὐ μὴν εἰς θη-
ρίον μετεβέβλητο· οὕτω καὶ ἡ διά-
νοια. καὶ τί; ἤνεσα καὶ ἐδόξασα. τί
τεκμήριον; τὸν ὕψιστον, φησὶ, ηὐ-
λόγησα, καὶ τὸν ζῶντα εἰς τοὺς αἰῶ-
νας ἤνεσα, καὶ ἐδόξασα. οὐδὲν
γὰρ οὕτω νομίζουσι θεοῦ εἶναι ἄξιον,
ὡς τὸ διὰ παντὸς εἶναι. ὅτι ἡ
ἐξουσία αὐτοῦ, φησὶ, ἐξουσία αἰώ-
νιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς
γενεὰν καὶ γενεάν. ἐπειδὴ τού-
τῳ μάλιστα ἄνθρωπος αὐτοῦ
διέστηκεν, καὶ τοῦτο ἦν παρὰ ἀν-
θρώποις τὸ μακαριστόν. ὅτι ἡ
ἐξουσία αὐτοῦ, φησὶ, ἐξουσία αἰώ-
νιος, παρὰ πάντα τὸν χρόνον ἐστί.
χωρὶς τροφῆς, φησὶ, ἔθρεψε· χω-
ρὶς τῶν ἐνδυμάτων, χωρὶς τῶν

git, quemadmodum in Ezecia; ita & in punitione fieri par est; vt & in Iudæis: volebat eos Deus statim in Palæstinam redire: illi, quadraginta annos sibi adiici per iniquitatem suam meruerunt. Vide autem illum confugere ad Deum. *Suspexi*, inquit, *in cælum*: & rursus factus sum homo. *Et forma mea reuersa est ad me*. Quemadmodum forma illius multum quidem ab humana erat mutata; non tamen in bestiam conuersus fuerat: ita & mens illius. Et quid? Laudaui & glorificaui. Quodnam indicium? *Altißimum*, inquit, *benedixi, & viuentem in sæcula laudaui ac glorificaui*. Nihil enim adeò dignum Deo esse putatur, ac perpetuò existere. *Quia potestas eius*, inquit, *potestas æterna, & regnum eius in generationem & generationem*. Quoniam in eo potissimùm homo ab illo distinguitur: & hoc erat quod apud homines beatum habebatur. *Quia potestas eius*, inquit, *potestas æterna*. In omne tempus existit. Sine cibo, ait, me nutriuit: sine vestimentis, sine aliis

4. Reg. 20.

Deut. 8.

omnibus rebus corruptum non est meum corpus. Cogita qualis erat, dum à deserto ad regnum rediit. 33. *Eo enim*, inquit, *tempore mens mea reuersa est: & ad honorem regni mei veni: & forma mea rediit ad me: & tyranni mei, & optimates mei quæsierunt me: & in regnum meum confirmatus sum: & magnitudo amplior addita est mihi. Et quæsierunt me*, inquit, *optimates mei;* qui dominantem ac regnantem expulerant & oderant. Idque ex decreto Dei. Ideo enim tempus definitur, ne existimes quicquam fortuitò euenisse. *Et regnum illius in generationem & generationem: & omnes terræ incolæ, quasi nihilum reputati sunt.* Nam si ego, qui omnibus imperabam, quasi nihilum reputatus sum: multo magis reliqui. Scilicet qui adeò potentem de regno deiecit: multo magis subiectos. *Et secundùm voluntatem suam facit in virtute cæli, & in habitatione terræ.* Illud: *quasi nihilum reputati sunt;* Non quòd contemnat illos, absit: sed quia potens est, &

ἄλλων ἁπάντων οὐ διεφθάρη μου τὸ σῶμα. ἐννόησον οἷος ἦν ἐπανιὼν ἀπὸ τῆς ἐρήμου πρὸς τὴν βασιλείαν. αὐτῷ γάρ, φησί, τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον· καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμέ· καὶ οἱ τύραννοί μου, καὶ οἱ μεγιστᾶνές μου ἐζήτησάν με· καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. καὶ ἐζήτησάν με, φησί, οἱ μεγιστᾶνές μου, οἱ κρατοῦντα καὶ βασιλεύοντα διώξαντες, καὶ μισοῦντες· ἀλλὰ διὰ τὸ πρόσταγμα τοῦ θεοῦ. διὰ γὰρ τοῦτο χρόνος ὁρίζεται, ἵνα μὴ αὐτομάτως νομίσῃς τι γενέσθαι. καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ὡς οὐδὲν ἐλογίσθησαν. εἰ γὰρ ὁ πάντων κρατῶν ἐγώ, ὡς οὐδὲν ἐλογίσθην, πολλῷ μᾶλλον οἱ πάντες. ὁ γὰρ τὸν οὕτως ἰσχυρὸν ἀποστήσας τῆς βασιλείας, πολλῷ μᾶλλον τοὺς ἀρχομένους. καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς. τό, ὡς οὐδὲν ἐλογίσθησαν, οὐχ ὅτι καταφρονεῖ αὐτῶν, μὴ γένοιτο, ἀλλ' ὅτι ἰσχυρός ἐστι, καὶ

ὡς βούλεται αὐτοὺς ἄγει. τοῦτο γοῦν καὶ τὸ ἐφ' ἑξῆς δηλοῖ· καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς. ἔστω μὲν γὰρ, περὶ τῆς γῆς οἶδας· περὶ τοῦ οὐρανοῦ, πόθεν ἐπίστασαι; ἀπὸ τῶν ὀνειράτων. ἐπέταξε, πῶς ὑπήκουσαν; ἀπὸ τοῦ πυρὸς τῆς καμίνου. καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ, τί ἐποίησας; οὐ μόνον, φησὶ, οὐκ ἐναντιωθήσεται, ἀλλ' οὐδὲ μέχρι ῥημάτων ἐρεῖ. πάντων αὐτὸς κρατεῖ, πάντα αὐτός ἐστιν. αὐτῷ, φησὶ, τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμέ. αὐτῷ· ποίῳ; τῷ λεχθέντι παρὰ τοῦ θεοῦ. πόθεν αὐτὸν καὶ εἰς τὴν βασιλείαν ἐπανήγαγον; οἱ γὰρ οὕτως ἰσχυρὸν καταβαλόντες, πῶς ἀσθενῆ γενόμενον ἐπανήγαγον; καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμέ· καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. ὁρᾷς πῶς καὶ στῆσαι καὶ καθελεῖν δύναται βασιλείαν; ἔδει μὲν γὰρ διὰ τῶν προτέρων ταῦτα πειραθῆναι· ἐπειδὴ δὲ ἀγνοεῖς, κα-

quemadmodum vult, illos agit. Hoc igitur ſequentia quoque declarant: *Et ſecundùm voluntatem ſuam facit in virtute cœli, & in habitatione terræ.* Eſto ſanè, de terra noſti: at de cœlo, vnde ſcis? A ſomnio. Iuſſit: Quomodo obedierunt? Ex igne fornacis. *Et non eſt qui reſiſtat manui eius, & dicat ei: quare feciſti?* Dan. 3. 49. Non tantùm, inquit, non aduerſabitur: ſed nec verbis tenus interrogabit. Omnibus ille imperat. Omnia ipſe eſt. *Eo*, inquit, *tempore mens mea reuerſa eſt ad me.* Eo: quo? dicto per Deum. Vnde illum & in regnum reduxerunt? Qui enim adeò potentem deiecerant, quomodo infirmum factum reuocarunt? *Et ad honorem regni mei veni: & forma mea rediit ad me: & tyranni mei, & optimates mei quærebant me: & in regno meo confirmatus ſum: & magnitudo amplior addita eſt mihi.* Vides vt Deus & ſtatuere & euertere poſſit regnum? Oportebat ſiquidem hæc per ea, quæ antea contigerant, explorata habere: ſed quoniam tu ignoraſti ea, re-

gnum Dominus euertit, & illud iterum erexit. 34. *Nunc igitur ego Nabuchodonosor laudo & exalto & glorifico regem cœli, quia omnia opera illius vera, & semitæ eius iudicia: Et omnes incedentes in superbia, potest humiliare.* Dici nequit, eum potestatem quidem habere, sed iniustam: illius quippe magna est iustitia. *Et omnes qui gradiuntur in superbia, potest humiliare.* Non dixit; humiliat: vt tibi illius etiam æquanimitatem ostenderet; & vt intelligeres quòd non ex infirmitate, sed quòd per vnum alios emendat. Vides potentiam? Vides iustitiam? Vides erga homines amorem? Vides hæc ab ore barbaro pronuntiari? Quisnam ita philosophatus est? Qui Prophetis erant innutriti, nihil simile loquebantur: sed contraria penitus.

Soph. 1. 12. *Non faciet bene Dominus*, aiunt, *& non faciet malè*. Et iterum:

Amos 6. 14. *Nonne in fortitudine nostrâ habuimus cornua?* Et:

Mal. 2. 17. *omnis qui facit malum; bonum est in conspectu Domini: & in his complacuit ei.* Et:

Ib. 3. 14. *quod emolumentum, quia seruii-*

θεῖλεν αὐτήν, καὶ πάλιν ἔστησεν. νῦν οὖν ἐγὼ ναβουχοδονόσωρ, αἰνῶ, καὶ ὑψῶ, καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινά, καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ, δύναται ταπεινῶσαι. οὐκ ἔστιν εἰπεῖν, ὅτι δύναμιν μὲν ἔχει, ἄδικον δέ, ἀλλὰ καὶ ἡ δικαιοσύνη μεγάλη. καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ, δύναται ταπεινῶσαι. οὐκ εἶπε, ταπεινοῖ, ἵνα σοὶ καὶ τὴν μακροθυμίαν ἐνδείξηται, καὶ ἵνα μάθῃς ὅτι οὐ παρὰ ἀσθένειαν, ἀλλὰ δι' ἑνὸς τοὺς ἄλλους σωφρονίζει. εἶδες δύναμιν; εἶδες δικαιοσύνην; εἶδες φιλανθρωπίαν; εἶδες ἀπὸ στόματος βαρβαρικοῦ ταῦτα λεγόμενα; τίς δὲ οὕτως ἐφιλοσόφησεν; οἱ προφήταις ἐντρεφόμενοι, οὐδὲν τούτων οὕτως ἐφθέγγοντο, ἀλλὰ τἀναντία. οὐ μὴ ἀγαθοποιήσῃ κύριος, φησί, οὐδὲ οὐ μὴ κακοποιήσῃ. καὶ πάλιν, οὐκ ἐν τῇ ἰσχύϊ ἡμῶν ἔσχομεν κέρατα; καί, πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς ηὐδόκησε. καί, τί ὄφελος ὅτι ἐδουλεύ-

σαμὲν αὐτῷ; εἶδες ἐν παλαιστίνῃ δόγματα σατανικά; εἶδες ἐπὶ τῆς βαρβάρου φιλοσοφίαν προφητικήν; ταῦτα τύποι τῶν ἐθνῶν, τῆς μελλούσης ἔσεσθαι χάριτος, ὅτι προεπήδησαν εἶχον οὗτοι ἐκείνων. Εἶτα ὁ βαλτάσαρ ἐν μέθῃ συμποσίου γινομένου κελεύει τὰ σκεύη ἐξενεχθῆναι, ὥσπερ φιλοτιμούμενος ἐπὶ τῇ νίκῃ τοῦ πατρὸς, μᾶλλον δὲ ἐμπαροινῶν· ἢ ἐπειδὴ θεαταὶ τῶν γινομένων ἦσαν ἐκεῖνοι, ὥστε καθελεῖν αὐτῶν τὸ θαῦμα, ὃ περὶ τὸν θεὸν εἶχον· καὶ τοῦτο ἐξ ὑπερηφανίας εἶχον ἤγουν ἐγίνετο καὶ μέθης. Φυλαττώμεθα μέθην ἀγαπητοί. πολλὰ γὰρ ἄτοπα γίνεται ὑπὸ ταύτης· ἀλλὰ καὶ μεγάλων περιγίνεται ἀνδρῶν ἡ μέθη. ἐν γὰρ τῷ γεύσασθαι τοῦ οἴνου, ἐκέλευσε τοῦτο. ἅπερ ὁ πατὴρ ἐκβαλὼν ἐφείσατο, καὶ αὐτὸς τὴν πόλιν ἑλὼν οὐκ ἐτόλμησεν εἰς ἀνθρωπίνην ἐνεγκεῖν διακονίαν ταῦτα· οὗτος οὐχὶ αὐτὸς μόνος, ἀλλὰ καὶ μεγιστᾶσι, καὶ παλλακίσι, καὶ παρακοίτοις εἰς χρῆσιν ἐξέδωκεν.

mus illi? Vides in Palæstina dogmata Satanica? Vides in barbarico solo philosophiam propheticam? Hæc figuræ sunt gratiæ apud gentes futuræ; & quòd gentiles haberent anteuertere Iudæos, ac præsultare. Postea Baltasar, cùm in illo conuiuio ebrius esset, iubet vasa educi: quasi in victoria patris glorians; magis verò petulanter insultans: seu, quoniam conuiuæ, eorum quæ contigerant fuerant spectatores; vt detraheret quam de Deo habebant admirationem. Et hoc ex superbia & ebrietate faciebant. Caueamus temulentiam, dilecti. Multa enim absurda ab hac fiunt. Sed & magnos viros superat ebrietas. Nam iste cùm vinum gustasset, vasa efferri iussit. Quibus pepercerat pater illius, qui ea è templo deprompserat: & is cùm cepisset Hierosolymam, non ausus est in humanum ministerium illa deducere; iste non sibi solummodo, sed & optimatibus suis & pellicibus & concubinis in vsum tradidit.

CAPVT V.

1. B*ALTASAR rex fecit conuiuium grande optimatibus ſuis mille : & è regione ipſorum mille, vinum.* 2. *bibens Baltaſar rex præcepit in guſtu vini, vt afferrent vaſa aurea & argentea, quæ aſportauerat Nabuchodonoſor pater eius de templo, quod in Hieroſolymis : & biberent in illis Rex, & optimates eius, & concubini, & pellices eius.* 3. *& allata ſunt vaſa argentea & aurea, quæ aſportauerat Nabuchodonoſor ex templo Dei, quod in Hieroſolymis : & bibebant in eis Rex, & optimates eius, & concubini eius, & pellices eius; & bibebant vinum.* 4. *& laudauerunt Deos aureos, & argenteos, & æneos, & ferreos, & ligneos, & lapideos.* Vides vaſa capi? Sed vide eorum virtutem, etiam poſtquam capta ſunt, ac poſita in Idolio. Eſto de iis ille pro libito ſtatuerit. Qua de cauſſa id? Capta ſunt propter Iudæorum peccata : illi pœnas dede-

ΚΕΦΑΛΑΙΟΝ Ε′.

ΒΑΛΤΑΣΑΡ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ χιλίοις, καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος. πίνων βαλτάσαρ ὁ βασιλεὺς εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου, τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε ναβουχοδονόσωρ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν ἱερουσαλήμ, καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ οἱ παράκοιτοι, καὶ αἱ παλλακαὶ αὐτοῦ. καὶ ἠνέχθησαν τὰ σκεύη τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐξήνεγκε ναβουχοδονόσωρ ἐκ τοῦ ναοῦ τοῦ θεοῦ ἐν ἱερουσαλήμ· καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεὺς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ οἱ παράκοιτοι αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ. καὶ ἔπινον οἶνον, καὶ ἤνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους. εἶδες αὐτὰ λαμβανόμενα; ἀλλ' ὅρα αὐτῶν τὴν ἰσχὺν, καὶ μετὰ τὸ ἁλῶναι, καὶ τεθῆναι ἐν τῷ εἰδωλείῳ. ἔστω κατὰ γνώμην ἐκεῖνος αὐτοῦ. διὰ τί καὶ τοῦτο; διὰ τὰς ἁμαρτίας εἰλήφθη ταῦτα. ἔδωκαν δί-

κῶν. τί δὲ πέρας καὶ μετὰ τὰ σημεῖα; πῶς οὐδὲν ἔπαθον ἐκεῖνοι, ἀλλ' ὁ βασιλεὺς μόνος; ἐκεῖνος γὰρ εἶπεν, αὐτὸς αἴτιος ἦν. ἤνεσαν, φησί, τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς. τίνος ἕνεκεν ἡ διαφορὰ αὕτη τῶν θεῶν παρ' αὐτοῖς ἦν; ὁ διάβολος βουλόμενος αὐτοὺς πάσης ἀποστερῆσαι συγγνώμης, πολλάκις ἐκέλευσε ξυλίνους γενέσθαι, ἵνα μὴ [illegible] ἀπὸ τῆς ὕλης πολυτέλειαν ἔχωσιν εἰς ἀπολογίαν. ὕμνουν εἰς αὐτούς. ὅρα οὐδαμοῦ τὸν θεὸν ἄρχοντα, ἀλλ' ἑπόμενον. τίνος ἕνεκεν ἐπηκολούθησεν ἡ δίκη ταχέως, καὶ αὐτῇ τῇ ὥρᾳ; ἵνα μὴ τὰ γενόμενα ἐκ τῶν προτέρων θαυμάτων, καταλυθῇ. ὑβριζομένου τοῦ θεοῦ διὰ τῶν σκευῶν, ἐβουλήθη ἄνδρας ἐνυβρίσαι. καὶ ὅρα τί γίνεται; ἐβουλήθη σκεύη, καὶ αὐτῇ τῇ ὥρᾳ ἡ τιμωρία. τίνος ἕνεκεν οὐκ ἀποστέλλεται ὁ προφήτης ἐγκαλέσων, ἀλλὰ ἀστράγαλος χειρός; ὥστε μείζω γενέσθαι τὴν ἔκπληξιν. ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου, καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ * τοίχους τοῦ οἴκου τοῦ βασιλέως, καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφού-

* l. τοίχου

runt. Quinam finis etiam post ostenta? Quo pacto nihil passi sunt magnates; sed solus Rex? Quia scilicet ille iusserat, ille ceteris auctor fuerat. *Laudarunt*, inquit, *Deos aureos & argenteos.* Quare hæc apud illos Deorum differentia erat? Diabolus cupiens illos omni venia priuare; sæpe præcepit vt Deos ligneos facerent; ne ab ipsa materia, magnum sumptum in excusationem adducerent. Laudibus celebrabant Deos. Aspice, Deum nusquam incipere; sed sequi. Quare pœna subsecuta est velociter ac eâdem horâ? Vt quæ ex prioribus miraculis acta fuerant, non dissoluerentur. Dum Deus in vasis afficitur contumeliâ, voluit homines iniuriam facere. Et vide quid fiat? Cupiit vasa: & eo ipso tempore punitio adfuit. Cur non mittitur Propheta illum reprehensurus; sed articulus manus? Vt maior oriretur consternatio.

5. *In eadem hora egressi sunt digiti manus hominis, & scribebant è regione lampadis in tectorio parietis domus regiæ: & Rex aspiciebat articulos manus scri-*

bentis. Adde & vesperam fuisse. Oportebat tumorem ex temulentia ortum comprimi. Deinde debebant omnes qui aderant edoceri, Regem pœnas dare. Cur non Deus fulmen è cœlo statim emisit? Vt iterum seruus suus gloria afficeretur: vt Baltasar audiret cur ista pateretur. Nam Daniel ingressus, non tantùm scripturam interpretatur: sed & longos producit sermones, eósque suasorios; non tanquam Regi profuturus, sed vt alios emendaturus. 13. *Tunc Daniel ingressus est in conspectum Regis. & dixit Rex Danieli: tu es Daniel, ex filiis captiuitatis Iudaicæ, quam deduxit rex pater meus, ex Iudæa?* Veluti territans eum & ad necessitatem redigens, hæc ait. Cùm autem dicit: *Quem adduxit rex pater meus, ex captiuitate Iudææ*, hæc contra semetipsum verba loquitur; si nimirum captiuorum vbique indigeat. 14. *Audiui de te, quòd spiritus Dei sanctus in te est, & vigilantia, & intelligentia, & sapientia amplior inuenta est in te.* 15. *& nunc ingressi sunt in con-*

σης. προσέθες καὶ ἑσπέραν οὖσαν. ἔδει τὴν οἴδησιν τὴν ἀπὸ τῆς μέθης κατασταλῆναι. εἶτα ἔδει μαθεῖν τοὺς παρόντας ἅπαντας, ὅτι δίκην δίδωσιν. διὰ τί μὴ σκηπτὸν ἀφῆκεν εὐθέως ἐκ τοῦ οὐρανοῦ; ὥστε πάλιν καὶ τὸν οἰκέτην δοξασθῆναι τὸν αὐτοῦ· ὥστε αὐτὸν ἀκοῦσαι διὰ τί ταῦτα πάσχει. ὁ γὰρ δανιὴλ εἰσελθὼν οὐχὶ τὴν γραφὴν ἑρμηνεύει μόνον, ἀλλὰ καὶ μακροὺς ἀποτείνει λόγους, καὶ συμβουλευτικούς, οὐχ ὡς ὠφελήσων αὐτόν, ἀλλ᾽ ὡς τοὺς ἄλλους βελτίους ποιήσων. τότε δανιὴλ εἰσῆλθεν ἐνώπιον τοῦ βασιλέως. καὶ εἶπεν ὁ βασιλεὺς τῷ δανιήλ· σὺ εἶ δανιήλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς ἰουδαίας, ἧς κατήγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου ἀπὸ τῆς ἰουδαίας; ὡς καταπληττόμενος αὐτόν, καὶ εἰς ἀνάγκην καθιστῶν ταῦτά φησιν. εἰπὼν δὲ, ὃν ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου ἀπὸ τῆς αἰχμαλωσίας τῆς ἰουδαίας, ταῦτα κατ᾽ αὐτοῦ τὰ ῥήματα ἔλεγεν, εἰ τῶν αἰχμαλώτων δέεται πανταχοῦ. ἤκουσα περὶ σοῦ ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί, καὶ γρήγορσις καὶ σύνεσις καὶ σοφία περισσὴ εὑρέθη ἐν σοί. καὶ νῦν εἰσῆλθον ἐνώπιον

πιόν μου οἱ σοφοὶ, μάγοι, γαζαρηνοὶ, χαλδαῖοι, ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσι, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσωσί μοι, καὶ οὐκ ἠδυνήθησαν τὴν σύγκρισιν τοῦ λόγου τούτου ἀναγγεῖλαί μοι. καὶ ἐγὼ ἤκουσα περὶ σοῦ, ὅτι δύνασαι συγκρίματα συγκρῖναι, καὶ λύειν συνδέσμους· καὶ νῦν ἐὰν δυνηθῇς ἀναγνῶναι τὴν γραφὴν, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τὸν τράχηλόν σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις. ὁμολογεῖ καὶ τὴν τῶν οἰκείων ἧτταν, καί φησιν· εἰπὲ, καὶ λαβὲ τάδε. ἀλλ' ὅρα τὸν προφήτην, ἐπὶ μὲν τοῦ πατρὸς αὐτοῦ πῶς ἠθύμησεν, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. ἀλλὰ τί φησι· τότε ἀπεκρίθη Δανιὴλ, καὶ εἶπεν ἐνώπιον τοῦ βασιλέως· τὸ δόμα σου σοὶ ἔστω, καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός· ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασιλεῖ, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω σοι βασιλεῦ. τίνος ἕνεκεν παραιτεῖται; ἵνα μάθῃς ὅτι οὐ δι' ἐκεῖνα λέγει. ὅτι γὰρ οὐκ ὀργιζόμενος, ἁπλῶς ταῦτα εἶπεν, ἐγὼ δὲ, φησὶ, τὴν γραφὴν ἀναγνώσομαι, καὶ τὴν σύγκρισιν αὐτῆς ἀναγγελῶ τῷ βα-

ſpectu meo ſapientes, magi, Gazareni, Chaldæi, vt ſcripturam hanc legerent, & coniecturam eius indicarent mihi: nec potuerunt coniecturam ſermonis illius renuntiare mihi. 16. *& ego audiui de te, quia potes coniecturas coniicere, & nodos ſoluere. Et nunc ſi poteris ſcripturam legere, & coniecturam eius indicare mihi; purpurâ veſtieris, & torques aurea erit in collo tuo, & tertius in regno meo imperabis.* Fatetur ſuos victos eſſe, & ait: dic, atque iſta accipe.
Sed conſidera Prophetam: Dan. 5. 16.
in patre quidem illius quomodo animum deſpondit: hîc autem nihil tale; ſed quid ait? 17. *Tunc reſpondit Daniel, & dixit coram Rege: munus tuum tibi ſit, & donum domus tuæ alteri da: ego verò ſcripturam legam Regi, & coniecturam eius indicabo tibi ô Rex.* Quare munera deprecatur? Vt intelligas, eum non propter illa prologui. Quòd enim non iratus, ſimpliciter hæc dixerit, *Ego autem*, inquit, *ſcripturam legam, & coniecturam eius renuntiabo Re-*

gi. Vides illum pecuniâ esse superiorem? honore altiorem? nullius ex regiis rebus indigentem? Tales esse oportet eos qui loquuntur ea quæ Dei sunt. Ne existimaret Rex illum ea via à se esse attractum; vel aliquid ex iis quæ ab eo dicebantur, humanum esse. Quid igitur ait? Omittens scripturam edisserere, illum pluribus verbis admonet. Ex ipsis exordiis ea quæ patri acciderant in memoriam ei reuocat. 18. *Deus altissimus regnum, & magnitudinem, & honorem & gloriam dedit Nabuchodonosori patri tuo.* 19. *Et à magnificentia, quam dedit ei, omnes populi, tribus, linguæ tremebant & metuebant à facie eius. Quos volebat, ipse interficiebat; & quos volebat, ipse percutiebat; & quos volebat, ipse deprimebat.* 20. *& quando eleuatum est cor eius, & spiritus eius obfirmatus est ad superbiendum; depositus est de solio regni sui, & honor eius ablatus est ab eo.* 21. *& ab hominibus expulsus est; & cor eius cum bestiis datum est; & cum asinis a-*

σιλεῖ. ὁρᾷς αὐτὸν χρημάτων κρείττω; τιμῆς ἀνώτερον; οὐδενὸς δεόμενον τῶν βασιλικῶν; οὕτω δεῖ τοὺς τὰ θεοῦ λέγοντας εἶναι. ἵνα μὴ νομίσῃ ὅτι ταύτῃ αὐτὸν ἐπεσπάσατο, ἢ ἀνθρώπινόν τι τῶν λεγομένων ἐστί. τί οὖν φησι; ἀφεὶς εἰπεῖν τὴν γραφὴν, συμβουλὴν ἀποτείνει, ἐξ αὐτῶν τῶν προοιμίων αὐτὸν ἀναμιμνήσκων τῶν τῷ πατρὶ συμβεβηκότων. ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν, καὶ τὴν μεγαλωσύνην, καὶ τὴν τιμὴν, καὶ τὴν δόξαν ἔδωκε ναβουχοδονόσορ τῷ πατρί σου. καὶ ἀπὸ τῆς μεγαλωσύνης, ἧς ἔδωκεν αὐτῷ, πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι ἦσαν τρέμοντες, καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ. οὓς ἐβούλετο αὐτὸς ἀνῄρει, καὶ οὓς ἐβούλετο αὐτὸς ἔτυπτεν, καὶ οὓς ἐβούλετο αὐτὸς ἐταπείνου. καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ *ὑπερηφανέσθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡ τιμὴ αὐτοῦ ἀφῃρέθη ἀπ᾽ αὐτοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη, καὶ μετὰ ὄνων

*ά- σασθαι

ἀγρίων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτὸν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ ἔγνω ὅτι κυριεύει ὁ θεὸς ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν. εἰ γὰρ ἐκεῖνος, φησὶ, ἀσύγγνωστος, σὺ ὁ μετὰ παράδειγμα τοιοῦτον μὴ σωφρονισθεὶς, τίνος ἄξιος εἰπέ μοι; οὐδὲ γὰρ εἰς ἄγνοιαν ἔχεις καταφυγεῖν. οὐδὲ πάντα ταῦτα ᾔδεις; * τίνα τίνος προετίμας; τοὺς οὐκ ἀκούοντας, οὐδὲ βλέποντας; καὶ σὺ ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατ' ἐνώπιον τοῦ θεοῦ. οὐ πάντα ταῦτα ἔγνως; καὶ ἐπὶ τὸν κύριον τὸν θεὸν τοῦ οὐρανοῦ ὑψώθης, καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου· καὶ σὺ, καὶ οἱ μεγιστᾶνες σου, καὶ οἱ παράκοιτοί σου, καὶ αἱ παλλακαί σου ἐπίνετε οἶνον ἐν αὐτοῖς. καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς, καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους, οἳ οὐ βλέπουσι, καὶ οὐκ ἀκούουσι, καὶ οὐ γινώσκουσιν, ᾔνεσας, καὶ τὸν θεὸν, οὗ ἡ πνοή σου ἐν χειρὶ αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας. διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος

*f. τίνας

grestibus habitatio eius : & fœno vt bouem cibauerunt eum ; & à rore cœli corpus eius tinctum est ; donec cognouit quia dominatur Deus altißimus super regnum hominum ; & cui visum fuerit dabit illud. Nam si ille, inquit, veniâ indignus fuit; tu qui post eiusmodi exemplum non resipuisti, quam pœnam, quæso, mereris? Neque enim ad ignorantiam potes confugere. Nonne hæc omnia noueras? Quosnam cuinam præfers? eos qui non audiunt, neque vident? 22. *Et tu filius eius Baltasar non humiliasti cor tuum coram Deo. Nonne omnia hæc noras?* 23. *& super Dominum Deum cœli eleuatus es: & domus eius vasa attulisti coram te: & tu, & optimates tui, & concubini tui, & pellices tuæ bibistis vinum in eis: Deósque aureos, & argenteos, & æneos, & ferreos, & ligneos, & lapideos, qui non vident, & non audiunt, & non cognoscunt, laudasti; & Deum, cuius in manu est flatus tuus, & omnes viæ tuæ; ipsum non glorificasti.* 24. *idcirco à facie eius missus est articulus*

manus, & hanc scripturam exarauit. 25. & hæc est exarata scriptura: Mane, Thecel, Phares. 26. & hæc est interpretatio visi. Mane; mensus est Deus regnum tuum, & compleuit illud. 27. Thecel; appensum est in statera, & inuentum est deficiens. 28. Phares; diuisum est regnum tuum, & datum est Medis ac Persis. Idcirco, ait, *Deus regnum tuum mensus est, & diuisum est.* Et hoc in supplicium fuit, quod diuisum est, nec mansit integrum. Quod & in Salomone contigit. Non modò quia Baltasaris filius non excepit regnum, sed & quia diuisum est. Aspice vt Deus se illi excuset: aspice vt Rex infortunij sui sit auctor. *In cuius*, inquit, *manu est flatus tuus.* Nonne enim poterat statim te interimere? Sed patiens fuit. Quem non hæc pœna perterruisset? Eáque in propinquo. Vides potestatem ad vtrumque? Vnde, quæso, venia dignus es? Et tu filius eius (non habeo dicere nepos) nonne omnia hæc noras? Quemadmodum in foro iudiciali sententia scribitur, iste

χειρὸς, καὶ τὴν γραφὴν ταύτην ἐνέταξε. καὶ αὕτη ἡ γραφὴ ἡ ἐντεταγμένη, μανὴ, θεκὲλ, φαρές. καὶ τοῦτο τὸ σύγκριμα τοῦ * ὁράματος. μανὴ, ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου, καὶ ἐπλήρωσεν αὐτήν. θεκὲλ, ἐστάθη ἐν ζυγῷ, καὶ εὑρέθη ὑστεροῦσα. φαρὲς, διῃρέθη ἡ βασιλεία σου, καὶ ἐδόθη μήδοις καὶ πέρσαις. διὰ τοῦτο, φησὶ, ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου, καὶ διῃρέθη. καὶ τοῦτο εἰς τιμωρείαν, τὸ διαιρεθῆναι, καὶ μὴ μένειν αὐτὴν ὁλόκληρον. ὅπερ οὖν καὶ ἐπὶ σολομῶνος γέγονεν. οὐ μόνον τὸ μὴ λαβεῖν τὸν υἱὸν, ἀλλὰ καὶ τὸ διαιρεθῆναι. ὅρα ἀπολογούμενον αὐτὸν τὸν θεόν. ὅρα αὐτὸν αἴτιον ὄντα. οὗ ἡ πνοή σου, φησὶ, ἐν χειρὶ αὐτοῦ. μὴ γὰρ οὐκ ἠδύνατο εὐθέως σε ἀνελεῖν; ἀλλ' ἐμακροθύμησεν. τίνα οὐκ ἂν ἐφόβησεν ἡ τιμωρεία; καὶ ταῦτα ἐγγὺς οὖσα. εἶδες τὴν ἐφ' ἑκάτερα δύναμιν; πόθεν ἄξιος εἶ, εἰπέ μοι, συγγνώμης; καὶ σὺ ὁ υἱὸς αὐτοῦ, οὐκ ἔχω εἰπεῖν, ὁ ἔκγονος, οὐ πάντα ταῦτα ἔγνως; καθάπερ ἐπὶ δικαστηρίου ἡ ἀπόφασις γράφεται, οὗτος

*al. ῥήματος

ἑρμηνεύει τὰ λεγόμενα. πόθεν ἐπῆλθεν αὐτῷ τιμῆσαι τὸν Δανιήλ; ὡς ἐμοὶ δοκεῖ, ὥστε μὴ καταγνωσθῆναι παρὰ τῶν παρόντων, προσδοκῶν ἴσως εὑρεῖν λύσιν διὰ ταῦτα.

ΚΕΦ. ϛ'.

ΚΑΙ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς βασιλείας αὐτοῦ. καὶ οἱ τακτικοὶ, καὶ οἱ σατράπαι ἐζήτουν πρόφασιν εὑρεῖν κατὰ Δανιὴλ ἐκ τῆς βασιλείας. καὶ πᾶσαν πρόφασιν καὶ παράπτωμα οὐχ εὗρον κατ' αὐτοῦ, ὅτι πιστὸς ἦν. τουτέστι καὶ εὔνους τῷ βασιλεῖ ἦν. ἢ, ὅτι πιστὸς ἦν· τουτέστι ἐθάῤῥει τῷ θεῷ, κἀκεῖνος πάντα ἐκυβέρνα· θεοῦ δὲ κυβερνῶντος, τίς ἂν γένοιτο βλάβη; τί οὖν φησι; Εἶπον οἱ τακτικοὶ ἐκεῖνοι, οὐχ εὑρήσομεν κατὰ Δανιὴλ πρόφασιν, εἰ μὴ ἐν νομίμοις θεοῦ αὐτοῦ. οὐδὲν, φησὶ, δυνατὸν εὑρεῖν. διὰ τί; μὴ οὐκ ἄνθρωπός ἐστιν; ἐν πᾶσιν ἄπταιστος γέγονεν; τὸ μέλλον ἄδηλον, καὶ ὑπὲρ τῶν μελλόντων πῶς

ea quæ pronuntiantur interpretatur. Vnde Regi in mentem venit Danielem honorare? Vt mihi videtur, ne ab iis qui aderant condemnaretur; & fortè sperans se per hæc liberationem inuenturum.

CAPVT VI.

4. *ET Rex constituit eum super omne regnum suum. Et ordinatores & Satrapæ quærebant inuenire contra Danielem occasionem, ex regno. Et omnem prætextum ac offensam non inuenerunt in illum, quia fidelis erat.* Id est Regi erat beneuolus. Vel; *Quia fidelis erat:* hoc est confidebat Deo; & ille omnia gubernat: Deo autem gubernante, quod damnum euenire poterit? Quid igitur ait?
5. *Dixerunt ordinatores ij: non inueniemus contra Danielem occasionem, nisi in legitimis Dei sui.* Nihil, inquiunt, inueniri potest. Propter quid? Nonne homo est? An in omnibus peccato fuit immunis? Futurum incertum est: & de rebus futuris qua ratio-

neaffirmatis ? Et aiunt : experimentum ex ipsis rebus sumpsimus. *Nisi in legitimis*, inquiunt, *Dei sui non inueniemus occasionem.* Atqui istic multo magis est irreprehensibilis. Tentationem permittit Deus ad probationem. Nonne enim poterat illorum cohibere malitiam ? Verùm vt per id disceres, & hunc mirareris, non inuidet famulis suis coronam. 6. *Tunc ordinatores & Satrapæ astiterunt Regi, & dixerunt ei : Dari rex, in æternum viue.* 7. *Consilium inierunt omnes qui super regnum tuum duces, & Satrapæ, optimates, & Toparchæ, statuere statuto regio, & confirmare constitutionem ; vt quicumque petierit ab vllo Deo vel homine petitionem, vsque ad dies triginta, nisi à te, Rex ; mittatur in lacum leonum.* 8. *Nunc igitur Rex, statue constitutionem, & propone scripturam, vt non immutetur decretum Medorum & Persarum, vt ne quid præscribatur aduersus illud.* 9. *Tunc rex Darius præcepit scribi decretum.* Vide quid agant : vtque inconsultum

ἀποφαίνεσθε; καί φησι, πεῖραν ἐλάβομεν ἀπὸ τῶν πραγμάτων. εἰ μὴ ἐν νομίμοις, φησὶ, θεοῦ αὐτοῦ, οὐχ εὑρήσομεν πρόφασιν. καὶ μὴν ἐκεῖ ἀληπτος πολλῷ πλέον. συγχωρεῖ τὸν πειρασμὸν ὁ θεὸς πρὸς δοκιμήν. μὴ γὰρ οὐκ ἠδύνατο κωλῦσαι τὴν κακίαν ἐκείνων; ἀλλ᾽ ἵνα διὰ τούτου μάθῃς, καὶ τοῦτον θαυμάσῃς, οὐ φθονεῖ τοῦ στεφάνου τοῖς οἰκέταις αὐτοῦ. τότε οἱ τακτικοὶ, καὶ οἱ σατράπαι παρέστησαν τῷ βασιλεῖ, καὶ εἶπον αὐτῷ, Δαρεῖε βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας σου στρατηγοὶ, καὶ σατράπαι, ὕπατοι, καὶ τοπάρχαι, τοῦ στῆσαι στάσει βασιλικῇ, καὶ ἐνισχῦσαι ὁρισμὸν, ὅπως ὃς ἂν αἰτήσῃ παρὰ παντὸς θεοῦ, ἢ ἀνθρώπου αἴτημα ἕως ἡμερῶν τριάκοντα, ἀλλ᾽ ἢ παρὰ σοῦ βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων. νῦν οὖν βασιλεῦ στῆσον τὸν ὁρισμὸν, καὶ ἔκθες γραφὴν, ὅπως μὴ ἀλλοιωθῇ τὸ δόγμα Μήδων, καὶ Περσῶν, ὅπως ἂν μὴ παραγραφῇ κατέναντι τούτου. τότε ὁ βασιλεὺς Δαρεῖος ἐπέταξε γραφῆναι τὸ δόγμα. ὅρα τί ποιοῦσι; πῶς ἀλόγιστον

δόγμα ἐσπούδαζον στῆσαι. καὶ κατὰ
σπουδὴν τοῦτο αἰτοῦσι. τὸ μὲν
γὰρ λέγειν, ὃς ἂν αἰτήσῃ παρὰ
ἀνθρώπου, λόγον εἶχεν; ἀλλ'
ἐδόκουν σοφίζεσθαι τὸν λόγον
τῆς αἰτήσεως τῷ βραχεῖ χρό-
νῳ. ποία ὑπόθεσις αὕτη; διατί
τί τοῦτο εἶπες; ἔδοξε, φησί·
πάντες συνελθόντες τοῦτο ἐκυ-
ρώσαμεν, ὥστε ἐν τριάκοντα ἡ-
μέραις παρὰ σοῦ μόνου αἰτεῖν.
ὢ βαρβαρικὸν αἴτημα· ὢ πολ-
λῆς ἀλογίας γέμουσα χάρις,
αὐτὸν τὸν δοκοῦντα τιμᾶσθαι
καταισχύνουσα. εἰ μὲν γὰρ
τοῦτο καλὸν, ἔδει διηνεκὲς τοῦ-
το εἶναι· εἰ δὲ φαῦλον, οὐ-
δὲ τὰς τριάκοντα ἡμέρας. πά-
λιν εἰ καλὸν, τί τὸ πλῆθος προ-
βάλλεσθε; καὶ γὰρ χωρὶς τού-
του ἐπινεῦσαι δεῖ· εἰ δὲ φαῦ-
λον, οὐδὲ πάσης τῆς οἰκου-
μένης κελευούσης ὑπείκειν ἐ-
χρῆν. οὐ προεῖδε τὸν δόλον ὁ βα-
σιλεὺς, καὶ δῆλον ἐκ τῶν μετὰ ταῦ-
*f. αὐτὸ τα. ὥρισε γὰρ, καὶ γράμμασιν *αὐ-
τὸν ἠσφαλίσαντο, ὥστε μὴ δὲ
βουλομένῳ μετὰ ταῦτα γενέσθαι
*l. τοῦ καιρὸν *τὸ ἀνανεῦσαι. τί οὖν ἀκού-
σας φησὶν ὁ Δανιήλ; οὐκ ἐταράχθη,

edictum ſtatuere ſtudeant? Et cupidè hoc petunt. Nam dicere: *Quicumque petierit ab homine*, habuitne cauſſam? Sed videbantur rationem petitionis per breuitatem temporis callidè occultare. Qualis eſt iſte prætextus? Quare id dixiſti? Viſum eſt, inquit; omnes conuenientes id firmauimus, vt intra triginta dies à te ſolo petant. O barbaricam petitionem! O multæ inconſiderantiæ plenum beneficium, eum qui honorari videtur afficiens probro. Nam ſi res honeſta erat; oportebat perpetuam eſſe: ſi verò improba; ne quidem ad triginta dies durare. Rurſus, ſi bona; cur multitudinem obtenditis? Etenim ſine ea annuere oportuit: ſi verò mala; nec vniuerſo orbe iubente obtemperandum erat. Dolum non præuidit Rex: & hoc ex iis quæ poſtea contigerunt manifeſtum eſt. Conſtituit enim; & conſtitutionem publicis litteris firmarunt, vt neque volenti Regi tempus renuendi eſſet deinceps. Quid itaque ait Daniel, cùm iſta accepit? Turbatus non eſt;

pristinæ consuetudini nihil adiecit, nihil ademit. Aspice virtute præditum æquabiliter semper viuentem; omnia velut prætereuntes flores, ac velut in vmbris, tum commoda tum tristia intuentem. Nam si ab initio adeò imperterritus manebat; multo magis nunc, post certaminum periculum tot coronis redimitus. Cur non accessit? Cur questus non est, cùm tantam loquendi libertatem apud Regem obtineret? Nolebat id agere verbis, sed rebus. Alioquin autem vbique eum inuenimus, cùm vsus vocat, prosilire atque accedere. 10. *Et Daniel quando cognouit scriptum esse decretum, ingressus est in domum suam; & fenestræ apertæ in cœnaculo eius contra Hierosolymam: & tribus temporibus diei flectebat genua, & orabat, & confitebatur coram Deo suo, vt antea solitus erat facere.* Quare nos admonuit fenestrarum, quòd apertæ essent versus Hierosolymam? Quia Iudæi vehementi vrbis illius visendæ tenebantur desiderio. Sicut igitur qui amatam habet absentem; etiam

οὐ προσέθηκεν, οὐκ ἀφεῖλεν. ὅρα τὸν ἐνάρετον ὁμαλῶς ἀεὶ ζῶντα, ὥσπερ τινὰ ἄνθη παρατρέχοντα πάντα, ὥσπερ ἐν σκιαῖς, καὶ τὰ χρηστὰ καὶ τὰ λυπηρὰ θεώμενον. εἰ γὰρ ἐν ἀρχῇ οὕτως ἀκατάπληκτος ἔμενε, πολλῷ μᾶλλον νῦν μετὰ τὴν πεῖραν τῶν ἀγώνων τοσούτοις ἀναδησάμενος στεφάνοις. τίνος ἕνεκεν οὐ προσῆλθε; τίνος ἕνεκεν οὐκ ἐμέμψατο, τοσαύτην παρὰ τῷ βασιλεῖ παῤῥησίαν ἔχων; οὐκ ἐβούλετο ῥήμασιν, ἀλλὰ πράγμασι τοῦτο ποιῆσαι. ἄλλως δὲ πανταχοῦ αὐτὸν εὑρίσκομεν, τῆς χρείας καλούσης, ἐπιπηδῶντα, καὶ παραγινόμενον. καὶ δανιὴλ ἡνίκα ἔγνω ὅτι ἐνετάγη τὸ δόγμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ αἱ θυρίδες ἀνεῳγμέναι ἐν τοῖς ὑπερῴοις αὐτοῦ κατέναντι ἱερουσαλήμ· καὶ καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ, καὶ προσευχόμενος, καὶ ἐξομολογούμενος ἐναντίον τοῦ θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἔμπροσθεν. τίνος ἕνεκεν τῶν θυρίδων ἡμᾶς ἀνέμνησεν, ὅτι ἀνεῳγμέναι ἦσαν πρὸς ἱερουσαλήμ; σφοδρὸν τῆς θέας εἶχον πόθον. καθάπερ οὖν τις ποθουμένην ἔχων ἀπόδημον, καὶ

τὰς

τὰς ὁδοὺς τὰς ἐκεῖ φερούσας φιλεῖ· οὕτω δὴ καὶ οὗτος. ἐπεθύμουν δὲ αὐτῆς ἄλλοι τῶν σωματικῶν ἕνεκεν, οὗτος δὲ οὐχί, ἀλλὰ διὰ τὴν δόξαν τοῦ θεοῦ. ἐπεὶ ὅτι τοῦτό ἐστι, δῆλον ἐκεῖθεν. οὐ γὰρ εἵλετο ἀνελθεῖν, τοῦ σπουδαζομένου πέρας εἰληφότος αὐτῷ. διὰ τοῦτο καὶ ἡμεῖς, καθὼς οἱ πατέρες ἡμῖν παραδεδώκασι, πρὸς ἀνατολὰς ὁρῶντες εὐχόμεθα, πόλιν καὶ ἡμεῖς καὶ πατρίδα ἀρχαίαν ζητοῦμεν. καὶ γὰρ ὄντως ἄξιον ζητῆσαι. πῶς πανταχοῦ τοῦ θεοῦ ὄντος, καὶ λέγοντος τοῦ προφήτου· τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, κύριος ὄνομα αὐτῷ, πρὸς ἀνατολὰς ἐσμὲν τετραμμένοι; ἐκεῖ ὥσπερ ἰατρεῖον ἦν τὸ ἀρχαῖον. ἀλλ' οὐκ ἔλαβες αὐτοῦ πεῖραν; ἀλλὰ ζήτει. ἐν αἰχμαλωσίᾳ καὶ ἡμεῖς ᾠκοῦμεν, ἀλλὰ πρὶν ἐλθεῖν τὸν χριστόν. τίνος δ' ἕνεκεν τρεῖς μόνους καιροὺς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ; τί γάρ; τοῦτο οὐ θαυμαστόν; ἄνθρωπος τοσαύταις κυκλούμενος φροντίσι, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι ἔχων. ὅρα δὲ καὶ τὸ ἀποστολικὸν ἐκεῖνο πληρούμενον· ἐν παντὶ τόπῳ, φη-

itinera eò ducentia diligit: ita ſanè & iſte. Alij verò deſiderabant vrbem propter res corporales: non autem hic, at propter gloriam Dei. Quandoquidem id ita ſe habere inde manifeſtum eſt, quòd noluerit redire, cùm euenit quod expetebat. Propter hoc & nos, ſicut patres nobis tradiderunt, ad Orientem aſpicientes precamur: ciuitatem quoque nos ac patriam antiquam requirimus. Etenim reuera quæſitu digna res eſt. Quo pacto cùm Deus vbique ſit, cúmque Propheta dicat: *Ei qui aſcendit ſuper occaſum, Dominus nomen illi*; tamen ad ortus vertimur? Nempe ibi velut medici officina erat olim. At illius non cepiſti experimentum? Sed quære. In captiuitate & nos habitabamus: verùm antequam veniſſet Chriſtus. Cur autem tribus tantùm diei temporibus flectebat genua? Quid enim? Nonne hoc mirabile? Homo tot tantíſque circumdatus curis, quíque ne paulum quidem reſpirare habebat. Aſpice autem & impleri illud Apoſtoli. *In omni loco*, in-

Pſ. 67. 5.

1. Tim. 2. 8.

quit, *leuantes puras manus.* Et quod Christus iussit, hoc complebant. *Et claudens*, inquit, *ostium tuum, ora patrem tuum.* 13. *Tunc responderunt, & dicunt coram Rege: Daniel, qui de filiis captiuitatis Iudææ, non subdidit se decreto tuo, & constitutioni quam statuisti: Et tribus diei temporibus petit à Deo suo petitiones.* 14. *Tunc Rex, vt verbum audiuit, multum contristatus est super eo: & pro Daniele contendit, vt liberaret eum: & vsque ad occasum solis dimicauit, vt erueret eum; & satagebat pro illo.* 15. *Tunc viri illi obseruauerunt in Regem, & dicunt Regi: scito Rex, quia decretum est Medis & Persis, omnem constitutionem & statutum, quod Rex statuerit, abrogare non oportere.* 16. *Tunc Rex iussit: & adduxerunt Danielem, & miserunt eum in lacum leonum.* Forsan nonnulli vestrûm dicunt: nonne potuit Rex liberare eum? Maximè quidem potuit Deus Regem facere potentiorem: sed ad certamen athletam ducit. Nouerat finem, non ignorabat

Matt. 6. 6.

σὶ, ἐπαίροντες ὁσίους χεῖρας. καὶ ὅπερ ὁ χριστὸς ἐκέλευσε, τοῦτο ἐπλήρουν. καὶ κλείσας, φησί, τὴν θύραν σου πρόσευξαι τῷ πατρί σου. τότε ἀπεκρίθησαν, καὶ λέγουσιν ἐνώπιον τοῦ βασιλέως· δανιὴλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς ἰουδαίας, οὐχ ὑπετάγη τῷ δόγματί σου, καὶ περὶ τοῦ ὁρισμοῦ, οὗ ἔταξας· καὶ καιροὺς τρεῖς ἡμέρας αἰτεῖ παρὰ τοῦ θεοῦ αὐτοῦ τὰ αἰτήματα. τότε ὁ βασιλεύς, ὡς τὸ ῥῆμα ἤκουσε, πολὺ ἐλυπήθη ἐπ' αὐτῷ, καὶ περὶ τοῦ δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν· καὶ ἕως πρὸς δυσμὰς ἡλίου ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν, καὶ ἦν ἀγωνιζόμενος περὶ αὐτοῦ. τότε οἱ ἄνδρες ἐκεῖνοι παρετηρήσαντο ἐπὶ τὸν βασιλέα, καὶ λέγουσι τῷ βασιλεῖ· γνῶθι βασιλεῦ, ὅτι τὸ δόγμα τοῖς μήδοις καὶ πέρσαις, τοῦ πάντα ὁρισμὸν καὶ στάσιν, ἣν ἂν ὁ βασιλεὺς στήσῃ, οὐ δεῖ παραγράψαι. τότε ὁ βασιλεὺς εἶπεν, καὶ ἤγαγον τὸν δανιήλ, καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων. τάχα τινὲς ὑμῶν λέγουσιν, ὅτι οὐκ ἴσχυσεν αὐτὸν ἐξελέσθαι, μάλιστα μὲν ἠδύνατο ὁ θεὸς ποιῆσαι τὸν βασιλέα δυνατώτερον, ἀλλὰ ἐπὶ τὸ κάμμα ἄγει τὸν ἀθλητήν. ᾔδει τὸ τέλος, οὐκ

ἡγνόει τὸ πέρας. ὥστε ὁ βασιλεὺς εἰ
τοῦτο ᾔδει τὸ τέλος ἐκβησόμενον, ἠ-
γωνίσατο ἄν. ἀλλ᾽ οὐκ ἴσχυσεν. ἀπό-
δεκτος τῆς προθυμίας, συγγνωστὸς τῆς
ἀγνοίας. οὕτω ποθεινὸς ἦν ὁ Δανιήλ·
ἀλλ᾽ ὁ φθόνος οὐδὲ τὰ καλὰ ἀφίησι
βλέπειν, μᾶλλον δὲ βλέπειν μὲν
αὐτὰ, οὐ τοῖς αὐτοῖς δὲ ὀφθαλμοῖς. οὐ
δεῖ, φασὶν, οὕτως ἔκλυτα εἶναι τὰ
πράγματα, οὐδὲ ἀβεβαίους τοὺς
νόμους τοὺς παρ᾽ ἡμῖν. τὸ ἔθνος ὅλον
ὑβρίζεται. ἐμβάλλουσιν εἰς τὸν λάκ-
κον. ἐπιτιθέασι λίθον. καὶ εἶπεν ὁ
βασιλεὺς τῷ Δανιήλ· ὁ θεὸς, ᾧ σὺ
λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖ-
ταί σε. καὶ ἤνεγκαν λίθον ἕνα, καὶ ἐ-
πέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου. καὶ
ἐσφραγίσατο ὁ βασιλεὺς τῷ δα-
κτυλίῳ αὐτοῦ, καὶ τῷ δακτυλίῳ τῶν
μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιω-
θῇ πρᾶγμα ἐν τῷ Δανιήλ. καὶ ἀ-
πῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐ-
τοῦ, καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέ-
σματα οὐκ εἰσήνεγκαν αὐτῷ, καὶ ὁ
ὕπνος ἀπέστη ἀπ᾽ αὐτοῦ. ἀναμνή-
σθητί μοι τοῦ μνημείου τοῦ χρι-
στοῦ, ἔνθα τὰ σήμαντρα ἐπέθηκαν
οἱ Ἰουδαῖοι. εἰ γὰρ μὴ τοῦτο ἦν, εἶ-
πον ἂν ὅτι κατὰ γοητείαν τὸ πρᾶ-
γμα γέγονεν. ἀλλὰ πανταχοῦ τὰ

exitum. At Rex si finem hunc sciuisset euenturum, non laborasset vtique. Sed non potuit. Laudabilis est ob studium, veniâ dignus ob ignorantiam. Adeò exoptatus ac amabilis erat Daniel: sed inuidia ne pulcra quidem intueri sinit: imò intueri quidem permittit; at non iisdem oculis. Non oportet, inquiunt, adeò languidam esse rerum administrationem, neque leges nostras instabiles esse. Tota gens contumelia afficitur. Immittunt Danielem in fossam: imponunt lapidem.
16. *Et dixit Rex Danieli: Deus cui tu seruis continuè, ipse liberabit te.* 17. *& attulerunt lapidem vnum, & imposuerunt super os laci: & obsignauit Rex annulo suo, & annulo optimatum suorum; vt nihil mutaretur in Daniele.* 18. *& abiit Rex in domum suam, & cubuit incœnatus, & cibos non apposuerunt ei, & somnus recessit ab eo.* Recordare mihi monumentum Christi, vbi Iudæi sigilla imposuerunt. Absque enim eo fuisset, dixissent rem per fraudem ac præstigias esse factam. Sed vbique quæ

ab inimicis nostris patrantur, pro nobis sunt. Nam vt delatoribus omnis auferretur prætextus, id euenit: & Rex ponit signa, vt illis facultas non esset quicquam faciendi, vel illum extrahendi, & leones causandi: illi verò etiam imponunt signa, vt non liceret Regi liberare eum; atque sic iusta ac incorrupta ferretur sententia. *Et non cœnauit*, inquit, *Rex; neque dormiit.* Vide quantum amorem ostendat. Et quid? primùm quidem bene sperare iubet dicens: *Deus, cui tu seruis continuè.* Iterum caussam iustam ponit, quæ possit illius animum erigere. Forsan enim Danielem audierat. Deinde accedit hymnum proferens. 23. *Tunc Rex multum gauisus est super eo: & præcepit vt Danielem educerent de lacu. Et eductus est Daniel de lacu: & nulla læsio inuenta est in illo, quia credidit Deo suo.* 24. *& dixit Rex; & adduxerunt viros qui accusauerant Danielem: & in lacum leonum iniecti sunt ipsi, & filij eorum, & vxores eorum: & non peruenerant*

παρὰ τῶν ἐχθρῶν γινόμενα, ὑπὲρ ἡμῶν ἐστιν. ἵνα γὰρ πᾶσαν αὐτοῖς ἀνέλῃ πρόφασιν, τοῦτο γίνεται· καὶ ὁ βασιλεὺς τίθησι σημεῖα, ἵνα ἐκείνοις μὴ ἐκγίνηταί τι ποιῆσαι, ἢ ἐξελεῖν, καὶ τοὺς λέοντας αἰτιάσασθαι· κἀκεῖνοι δὲ τιθέασιν, ἵνα μὴ ἐξῇ τῷ βασιλεῖ ῥύσασθαι αὐτὸν, ἀλλ' οὕτως ἀδέκαστον γένηται τὴν ψῆφον. καὶ οὐκ ἐδείπνησε, φησὶ, ὁ βασιλεὺς, οὐδὲ ἐκαθεύδησεν. ὅρα πόσον ποιεῖ φίλτρον. καὶ τί; πρῶτον μὲν παρεθάρσυνεν αὐτὸν λέγων· ὁ θεὸς ᾧ σὺ λατρεύεις ἐνδελεχῶς. πάλιν αἰτίαν τίθησι δικαίαν, δυναμένην αὐτοῦ ἀναστῆσαι τὴν ψυχήν. καὶ γὰρ ἦν ἴσως ἀκηκοώς. εἶτα παραγίνεται ὕμνον ἀναφέρων. τότε ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ· καὶ τὸν δανιὴλ εἶπεν ἀνενεγκεῖν ἐκ τοῦ λάκκου. καὶ ἀνηνέχθη δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσε τῷ θεῷ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς, καὶ ἤγαγον τοὺς ἄνδρας τοὺς διαβάλλοντας τὸν δανιὴλ, καὶ εἰς τὸν λάκκον τῶν λεόντων ἐνεβλήθησαν αὐτοὶ, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν· καὶ οὐκ ἔφθασαν

εἰς τὸ ἔδαφος τοῦ λάκκου, ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν διέπτισαν. τίνος ἕνεκεν παῖδες καὶ γυναῖκες ἀπόλλυνται; τί ἥμαρτον οὗτοι; ἴσως καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐκοινώνουν. εἶδες τῶν πονηρῶν τὴν τιμωρίαν; εἶδες τῶν δικαίων τὰ ἔπαθλα; πάντοθεν παιδεύει, πάντοθεν οἰκοδομεῖ. εἶδες ὅτι κἂν καταλίπῃ θεὸς, ἐπὶ χρησίμῳ τοῦτο ποιεῖ. περιεγένετο πυρός· περιεγένετο θηρίων. μηκέτι λοιπὸν ἐξετάσῃς, διὰ τί λέοντες, καὶ παρδάλεις, καὶ τὰ λοιπὰ θηρία; καθάπερ γὰρ δήμιοί τινες παρὰ τὰς πλευρὰς ἑστῶτες τοῦ δανιὴλ, ὥσπερ ἐν θείῳ τινὶ, καὶ φρικτῷ δικαστηρίῳ τοῦτο ποιοῦντες. οὕτως οὐκ ἐτόλμησαν διορύξαι τὰς πλευρὰς τοῦ δικαίου. οὐ γὰρ ἤκουσαν ἐπιτάγματος δικαστοῦ. ἐπειδὴ δὲ τοὺς ἄλλους ἔβαλον, ἐπιτάξαντος τοῦ θεοῦ διέφθειραν. καὶ τὰ ὀστᾶ αὐτῶν, φησὶ, ἐλέπτυναν. τίς ἐχαλίνου αὐτῶν τὰ στόματα; τίς τροφῆς παρακειμένης ἀποσχέσθαι ἐκέλευσεν; ποῖος οὕτω φιλόσοφος ἐγκρατὴς, ὡς λιμοῦ κελεύοντος, καὶ τῆς λύσεως τοῦ λιμοῦ παρούσης, μὴ ἂν θελῆσαι λῦσαι τὸ

ad pauimentum laci, cùm dominati sunt eorum leones, & omnia ossa eorum comminuerunt. Qua de caussa filij & vxores pereunt? Quid peccauerunt isti? Fortasse illi quoque criminis participes erant. Vides improborum supplicium? Vides iustorum præmia? Vndique erudire, vndique ædificare. Vides quod quamuis Deus deserat, ad vtilitatem nostram id facit. Superauit ignem; superauit feras. Ne deinceps inquiras, ad quid leones, & pardi, & reliquæ feræ? Sunt enim veluti carnifices quidam ad latera Danielis stantes, tamquam in diuino quodam ac horrendo tribunali id agentes. Ad hunc modum non ausi sunt perfodere latera iusti viri. Non enim acceperant iudicis mandatum. Postquam verò alij in lacum missi sunt: Deo iubente, eos interfecerunt. *Et ossa eorum*, inquit, *comminuerunt.* Quis frenabat ipsorum ora? Quis præcepit apposito cibo abstinere? Quis philosophus adeò temperans, vt pressus fame, solutione autem famis præsente, nolit se ab eo malo

liberare? Rursus edicta: rursus diuinum præconium: rursus testimonium per res ipsas.

CAPVT VII.

1. *IN primo anno Baltasaris regis Chaldæorum, Daniel somnium vidit: & visiones capitis eius in cubili eius. Et somnium scripsit. Principium sermonum eius. Et respondens dixit:* 2. *ego Daniel aspiciebam in mea visione, nocte: & ecce quatuor venti cœli irruebant in mare magnum:* 3. *& quatuor bestiæ grandes ascendebant de mari, diuersæ inter se.* 4. *prima similis leænæ, & alæ eius velut alæ aquilæ. Aspiciebam, donec euulsæ sunt alæ eius: & sublata est de terra: & in pedibus hominis stetit: & cor hominis datum est ei.* 5. *& ecce bestia alia similis vrso; & in partem vnam stetit: & tria latera in ore eius, inter dentes ipsius. Et sic dicebant ei: surge, comede carnes multas.* 6. *Post hoc aspiciebam, & ecce alia bestia tanquam pardalis: & ipsi alæ quatuor volucris.*

δεινόν; πάλιν διαγράμματα; πάλιν κήρυγμα θεῖον, πάλιν ἡ διὰ τῶν ἔργων μαρτυρία.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΕΝ τῷ πρώτῳ ἔτει βαλτάσαρ βασιλέως χαλδαίων, δανιὴλ ἐνύπνιον εἶδεν. καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον ἔγραψεν. ἀρχὴ λόγων αὐτοῦ. καὶ ἀποκριθεὶς εἶπεν· ἐγὼ δανιὴλ ἐθεώρουν ἐν τῇ ὁράσει μου τῆς νυκτὸς, καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν μεγάλην. καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινεν ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων. τὸ πρῶτον, ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτῆς ὡσεὶ ἀετοῦ. ἐθεώρουν ἕως οὗ ἐξετίλλοντο τὰ πτερὰ αὐτῆς, καὶ ἐξήρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. καὶ ἰδοὺ θηρίον ἕτερον ὅμοιον ἄρκῳ, καὶ εἰς μέρος ἓν ἐστάθη, καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς, ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς. καὶ οὕτως ἔλεγον αὐτῇ· ἀνάστα, φάγε σάρκας πολλάς. ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ ἕτερον θηρίον ὡσεὶ πάρδαλις, καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ.

ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῷ. ὀπίσω τούτου ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ θηρίον τέταρτον, φοβερὸν, καὶ ἔκθαμβον, καὶ ἰσχυρὸν περισσῶς. καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ μεγάλοι, ἐσθίον, καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶ συνεπάτει. καὶ αὐτὸ διαφέρον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ. καὶ κέρατα αὐτοῦ δέκα. προσενόουν τοῖς κέρασιν αὐτοῦ. καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβαινεν ἐν τῷ μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη ἀπὸ προσώπου αὐτοῦ. καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα. τίνος ἕνεκεν οὐχὶ γυναῖκας εἶπεν ὅτι εἶδεν; ἀλλ' ὅτε μὲν δίκην καὶ ἀρὰν ἔδει παραστῆσαι, γυναῖκας παρήγαγεν· ὅτε δὲ βασιλείας, θηρία. πρᾶγμά ἐστιν ἡ βασιλεία, σωματοποιεῖ οὖν αὐτό. οὐκ οὖν ἐχρῆν; καὶ καλῶς. ἀλλ' ἐπειδὴ αἱ ποιότητες αὐτῶν μάλιστα ἐν τοῖς θηρίοις εἰσί. διὰ τοῦτο αὐτῶν ἐδεήθη. ἐβουλήθη δεῖξαι τὸ ἐν ἀγριότητι ἁβρὸν, καὶ

super eam : & quatuor capita bestiæ : & potestas data est illi. 7. *Post hoc aspiciebam in visione noctis, & ecce bestia quarta, terribilis, & stupenda, & fortis nimis : & dentes eius ferrei, & magni ; comedens & comminuens ; & reliqua pedibus suis conculcabat. Et ipsa diuersa valde præ omnibus bestiis quæ ante eam : & cornua eius decem.* 8. *Considerabam cornua eius : & ecce cornu aliud paruum ascendebat in medio eorum : & tria cornua eius, de iis quæ antea, eradicata sunt à facie eius. Et ecce oculi, quasi oculi hominis in cornu isto ; & os loquens grandia.* Cur non dixit se vidisse mulieres ? At quidem cùm pœnam & maledictionem oportuit exhibere, mulieres adduxit Scriptura : cùm autem regna exprimere, bestias protulit. Incorporea res est regnum : corpus igitur illi tribuit. An non oportebat ? Et rectè. Nam quoniam regnorum qualitates præcipuè in bestiis istis existunt ; ideo iis opus habuit. Ostendere voluit illam in feritate superbiam, atque luxuriam, &

Zach. 5. &c.

leænam produxit. Voluit ostendere tarditatem; & vrsum adduxit. Voluit designare velocitatem, & pernicitatem, & quod bellis omnia imperia euerterint; atque pardalim protulit. Aspice vt priùs pulcrè viderit mare, quod repræsentat vniuersum orbem terrarum. Totidem enim plenus est tumultibus, & eodem modo agitatur: quasi piscibus, non hominibus repletus. Id etiam Christus declarat, præsentem nempe vitam mare esse, dum dicit: *Simile factum est regnum cælorum sagenæ missæ in mare, & ex omni genere congreganti. Et ecce*, inquit, *quatuor venti cæli irruebant in mare magnum.* Declarat bestias illas inde prodiisse: indicat etiam celeritatem diuinæ prouidentiæ. Etenim nos, cùm de velocitate sermo est, ventos in medium producimus. *Irruerunt in mare, & emerserunt*, inquit, *è mari.* Nam naturæ nostræ participes sunt principes nostri: sic etiam Regem leonem sæpe vocat; regiam dignitatem, & ferinos mores indicare cupiens. Vel quia ventorum ille qui-

Matt. 13. 47.

Ier. 4. & 5. &c.

λέαιναν παρήγαγεν. ἐβουλήθη δεῖξαι τὸ νωθές, καὶ ἄρκον παρήγαγεν. ἐβουλήθη δεῖξαι τὸ ταχὺ καὶ κοῦφον, καὶ ὅτι πολέμοις κατέλυσαν ἅπαντες τὰς ἀρχάς· καὶ πάρδαλιν παρήγαγεν. καὶ ὅρα ὅπως καλῶς ἐθεώρησε τὴν θάλασσαν πρῶτον, πᾶσαν τὴν οἰκουμένην. τοσαύτης γὰρ γέμει ταραχῆς, καὶ οὕτω φέρεται, ὡς ἰχθύων οὐχὶ ἀνθρώπων πεπληρωμένη. τοῦτο καὶ ὁ Χριστὸς δηλοῖ, ὅτι θάλασσα ὁ παρὼν βίος ἐστὶν, ἐν τῷ λέγειν· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγούσῃ. καὶ ἰδοὺ, φησὶ, οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν μεγάλην. δηλοῖ ὅτι ἐκεῖθεν τὰ θηρία.* τὸ ταχὺ τῆς τοῦ θεοῦ προνοίας. καὶ γὰρ ἡμεῖς ἐπὶ τῆς ταχύτητος, τοὺς ἀνέμους παράγομεν εἰς μέσον. ἐνέπεσαν εἰς τὴν θάλασσαν, καὶ ἀνέδυ, φησὶ, τὰ θηρία ἀπὸ τῆς θαλάσσης. καὶ γὰρ ἀπὸ τῆς φύσεως τῆς ἡμετέρας οἱ ἄρχοντες ἡμῶν. οὕτω καὶ τὸν βασιλέα, λέοντα καλεῖ πολλάκις, τὸ βασιλικὸν ὁμοῦ καὶ θηριῶδες δεῖξαι βουλόμενος. ἢ ἐπειδὴ ὁ μὲν ἀνατολικώτε-

*f. θηρία, καὶ τὸ

ρος.

ρος, ὁ δὲ ἐξ ἄρκτου, ὁ δὲ ἀπὸ νότου. ὡς ἂν εἴποι τις, ἀνέτρεψε τὴν θάλασσαν, ἀνετάραξαν ἐκ τοῦ οὐρανοῦ. διαφέροντα ἀλλήλων. τὸ πρῶτον ὡσεὶ λέαινα. καθάπερ ἐν ὀνείρῳ· οὐ γὰρ αὕτη τῶν πραγμάτων ἡ φύσις ἦν. διὰ δύο συμβόλων τὸ βασιλικὸν ἐνδείκνυται. τινὲς δέ φασιν ὅτι τὸ ἀσσύριον ἐκράτησε, διὰ τοῦτο δύο. καὶ ἐθεώρουν ἕως οὗ ἐξετίλλαντο τὰ πτερὰ αὐτοῦ. τουτέστι ἡ ἀρχή, καὶ ἤρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. γοργὸν τὸ ζῶον. ἑκατέρωθεν εἶχε τὴν ἰσχὺν ταχύτητος, ἄνωθεν μὲν ἀπὸ τῶν πτερῶν, κάτωθεν δὲ ἀπὸ τῶν ποδῶν· ἀλλ' ἑκατέρα ἡ ταχυτὴς ἀνῃρέθη, ἐκείνων μὲν ἐκτιλέντων, καὶ μηδὲ φανέντων λοιπόν, τούτων δὲ μεταπεσόντων ἐπὶ τοὺς ἀσθενεστέρους, τοὺς ἀνθρώπους. καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. τοῦτο γὰρ ἐν ἐκείνῳ τῷ ζώῳ, τὸ γαῦρον. ταπεινός, φησί, ἥμερος, χειροήθης ἐγένετο ὁ βασιλεύς. καὶ ἰδοὺ θηρίον ἕτερον ὅμοιον ἄρκῳ, καὶ εἰς μέρος ἓν ἐστάθη, καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτοῦ ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς. καὶ οὕτως ἔλεγον

dem Orientalior est; hic verò ex Septentrione, alter verò ab Austro. Vt si quis dixerit: euertit mare; illud de cœlo agitarunt. *Diuersæ inter se. Prima, quasi leæna.* Quemadmodum in somnio. Non enim hæc rerum natura erat. Per duo signa maiestas regia ostenditur. Quidam verò dicunt; quòd quia Assyrium superauit, ideo cum duobus animalibus confertur. *Et aspiciebam, donec euulsæ sunt alæ eius.* Id est imperium. *& sublata est de terra: & in pedibus hominis stetit: & cor hominis datum est ei.* Ferox animal. Vtrinque habebat celeritatis vim: supernè quidem ab alis; infernè verò à pedibus: sed vtraque velocitas ablata est; alis quidem euulsis, nec ampliùs apparentibus; pedibus verò degenerantibus in debiliores, humanos scilicet. *Et cor hominis datum est ei.* Tanta in illo animali fuerat superbia. Humilis, inquit, mitis & mansuetus factus est Rex. *Et ecce bestia alia similis vrso; & in partem vnam stetit: & tria latera in ore eius, inter dentes ipsius. Et sic dicebant*

ei : surge, comede carnes multas. Sub Persis homines fuerunt tardi ac segnes. Sub Medis & Persis extiterunt tria latera : id est vel loca, vel regna ; quæ in vnum illi contraxerunt. *Dicebant ei : surge, comede carnes multas.* Hi enim ceperunt & Babylonem, & multas calamitates intulerunt. *Post hoc aspiciebam ; & ecce alia bestia, quasi pardalis : & ipsi alæ quatuor volucris super eam : & capita quatuor bestiæ : & potestas data est illi.* Deinde, inquit, *pardalis :* Alexander Macedonum rex, qui totum orbem peruolauit. Nihil quippe illo fuit terribilius, nec velocius : at vehemens erat ac celer, sicuti hæc bestia. *Quatuor*, inquit, *alæ volucris super eam.* Hoc est omnem potentiam sibi adiunxit. Persas enim in tredecim regna diuisos, sibi subiecit vniuersos. Vides illius celeritatem? Et ex bestiæ natura, & ex alis. Vniuersum orbem percurrit. *Et capita*, inquit, *quatuor bestiæ. Et regnum & potestas data est ei.* Dehinc narrat quartæ bestiæ aduentum multiformem &

αὐτῇ· ἀνάστηθι, φάγε σάρκας πολλάς. ἐπὶ τῶν περσῶν ἐγένετο τὸ βραδὺ τῶν ἀνθρώπων. ἐπὶ μήδων καὶ περσῶν τρία πλευρὰ, ἤτοι τόπους, ἢ τὰς βασιλείας, ἃς συνῆξεν. λέγειν αὐτῷ· ἀνάστηθι, φάγε σάρκας πολλάς. οὗτοι γὰρ εἷλον καὶ βαβυλῶνα, καὶ τὰς πολλὰς εἰργάσαντο συμφοράς. ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ ἕτερον θηρίον ὡσεὶ πάρδαλις, καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτοῦ, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῷ. εἶτα, φησὶ, πάρδαλις, ἀλέξανδρος ὁ τῶν μακεδόνων βασιλεὺς, πᾶσαν διαπτὰς τὴν οἰκουμένην. οὐδὲν γὰρ τούτου γοργότερον, οὐδὲ ὀξύτερον γέγονεν, ἀλλὰ σφοδρός τις ἦν καὶ ὀξὺς, καθάπερ τοῦτο τὸ θηρίον. τέσσαρα, φησὶ, πτερὰ πετεινοῦ ὑπεράνω αὐτοῦ. τουτέστιν ἅπασαν προσέλαβε τὴν ἰσχύν. πέρσας γὰρ εἰς δέκα τρεῖς βασιλείας διελὼν, ἅπαντας ἐχειρώσατο. εἶδες αὐτοῦ τὴν ταχύτητα; καὶ ἀπὸ τῆς φύσεως τοῦ θηρίου, καὶ ἀπὸ τῶν πτερῶν. πᾶσαν διέδραμε τὴν οἰκουμένην. καὶ κεφαλαὶ, φησὶ, τέσσαρες τῷ θηρίῳ. καὶ ἡ βασιλεία, καὶ ἡ ἐξουσία ἐδόθη αὐτῷ. εἶτα λέγει ταύτης τὴν παρουσίαν, τὴν πολυ-

ποίκιλον καὶ παντοδαπή, καὶ οὐκ ἔχει εἰκόνα εἰπεῖν, οὕτως ἐξαλλάττον τι τὸ θηρίον ἦν. πάσας γὰρ ἐκείνας ἐνίκησε. ταῖς μὲν ἄλλαις, ἀπὸ τοῦ τάχους ἦν ἡ ἰσχύς, τούτου δὲ ἀπὸ τῶν ὀδόντων, σιδηροῖ ἦσαν. καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. τοὺς πολλοὺς λέγει πολέμους. τίνες οἱ δέκα βασιλεῖς; τί δὲ μικρὸν κέρας; ἐγὼ τὸν ἀντίχριστόν φημι μεταξὺ τινῶν φαίνεσθαι βασιλέων. καὶ ὀφθαλμοὶ ὡς ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα. τί γὰρ ἐκείνου τοῦ στόματος μεῖζον γένοιτ' ἄν, τοῦ λέγοντος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι. εἰ δὲ ὀφθαλμοὶ ἀνθρώπου, μὴ θαυμάσῃς, καὶ γὰρ τοιαῦτα φθέγγεται. ἄνθρωπός ἐστι, φησί. διὰ τί δὲ μικρόν, καὶ οὐκ ἐξ ἀρχῆς μέγα φαίνεται; ἀλλ' ὕστερον αὐξηθήσεται, καὶ κρατήσει τινῶν βασιλέων. τί οὖν; οὐκέτι βασιλεία διαδέχεται τοῦτον, ἀλλ' αὐτὸς ὁ θεὸς καταλύει. ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο. καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν

omnigenum ; & non poteſt afferre ſimilitudinem , adeò beſtia illa varians erat. Alia quippe deuicit regna. Ceteris quidem imperiis à velocitate inerat vis : huius verò animalis vires in dentibus , qui ferrei erant. *Et reliqua pedibus ſuis conculcabat.* Multa intelligit bella. Quinam ſunt decem Reges ? Quod paruum cornu ? Ego aio Antichriſtum inter aliquot Reges apparere. *Et oculi, quaſi oculi hominis in cornu iſto , & os loquens grandia.* Quid enim illo ore grandius eſſe poteſt,
quod loquitur *ſupra quicquid dicitur Deus , aut numen ; adeò vt in templo Dei ſedeat.* Si autem oculi hominis , ne mireris : etenim talia loquitur. Homo eſt, inquit. Cur autem cornu paruum , & non ab initio magnum apparet ? At poſthac creſcet , & quorumdam Regum dominabitur. Quid igitur ? Nullum regnum excipiet hunc Regem ; ſed illum Deus ipſemet diſſoluet ac deſtruet.
9. *Aſpiciebam , donec throni poſiti ſunt , & antiquus dierum ſedit : & veſtimentum eius candidum*

2. Theſſ. 2. 4.

2. Theſſ. 2. 3.

ſicut nix : & capillus capitis eius quaſi lana munda: thronus eius flamma ignis : rotæ eius ignis ardens : 10. *fluuius ignis manabat egrediens à conſpectu eius. Mille millia miniſtrabant ei , & dena millia denum millium aßiſtebant ante eum. Iudicium ſedit , & libri aperti ſunt.* Contendamus animo, cariſſimi. Non enim paruis de rebus agitur. *Throni* , inquit , *poſiti ſunt , & antiquus dierum ſedit.* Quis eſt iſte ? Sicuti cùm audiiſti vrſum , non de vrſo cogitaſti ; & cùm leænam, non id animal ſuſpicabaris ; ſed regna ; & cùm mare , non mare, ſed orbem terrarum ; in aliis alia cogitans : ita & nunc. Antiquus dierum quid eſt ? Seni cuidam ſimilis erat. Nam ad vſus rerum , propter quas apparet , ſeipſum format : atque hîc oſtendit ſenibus iudicia eſſe committenda. Sicut enim cùm audis thronum , non cathedram intelligis. Verùm quis adeò vilem ac vulgarem ſenſum arriperet, cùm
Sap. 5. 18. & alibi Deus armatus videatur , & alibi cruentatus.
Iſ. 63. 1. Hoc itaque indicare vult ,

ὡσεὶ χιών· καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν. ὁ θρόνος αὐτοῦ φλὸξ πυρός. οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν. συντείνωμεν τὴν διάνοιαν, ἀγαπητοί. οὐ γὰρ περὶ μικρῶν ὁ λόγος ἐστί. θρόνοι, φησὶν, ἐτέθησαν, καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθητο. τίς ἐστιν οὗτος; ὥσπερ ἀκούσας ἄρκον, οὐκ ἄρκον ἐνόησας, καὶ λέαιναν, οὐ τοῦτο ὑπώπτευες, ἀλλὰ βασιλείας· καὶ θάλασσαν, οὐ θάλασσαν, ἀλλὰ τὴν οἰκουμένην, δι᾽ ἑτέρων ἕτερα· οὕτω καὶ νῦν. παλαιὸς ἡμερῶν τί ἐστιν; γεγηρακότι τινὶ ἐῴκει. πρὸς γὰρ τὰς χρείας τῶν πραγμάτων, δι᾽ ἃς φαίνεται, τυποῖ ἑαυτὸν, δεικνὺς ὅτι τοῖς τοιούτοις πιστεύεσθαι τὰ κριτήρια χρή. ὥσπερ γὰρ θρόνον ἀκούων οὐχὶ καθέδραν νοεῖς. ἀλλὰ πῶς τὸν χυδαῖόν τις ἐπισπάσαιτο. ἐπεὶ καὶ ἀλλαχοῦ ὡπλισμένος φαίνεται, καὶ ἑτέρωθεν ἡμαγμένος. τοῦτο οὖν βούλεται δεῖξαι,

ὅτι κρίσεως καιρός. τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιών, λευκόν. τίνος ἕνεκεν; ὅτι οὐχὶ κρίσεως καιρὸς μόνον, ἀλλὰ καὶ ἀνταποδόσεως, ὅτι πάντας δεῖ αὐτῷ παραστῆναι. ὅτι τὸ κρίμα αὐτοῦ, φησί, ὡς φῶς ἐξελεύσεται. εἶτα θρόνοι ἐτέθησαν. οὐ θρόνοι, ἐν οἷς καθήσεσθε, φησί, ἐπὶ δώδεκα θρόνους; καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν. τὸ πῦρ οὐδὲν ἀνήλισκεν, ἐπειδὴ γὰρ ἥμερον. εἶδες ὄψιν καὶ σχῆμα πολιτικόν, καὶ δημαγωγικόν; ὁ θρόνος ἐφόβει, τῷ πολύπυρος εἶναι. πῦρ οὐχ ἁπλῶς, ἀλλὰ φλέγον. ἵνα γὰρ μὴ νομίσῃς διὰ τὴν εἰκόνα παραβεβλῆσθαι, προσέθηκεν αὐτοῦ τὴν ἐνέργειαν, εἰπὼν οὐχ ἁπλῶς πῦρ, ἀλλὰ πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. κριτήριον ἐκάθισεν. τουτέστιν διὰ τοῦτο παρεγένετο, ὥστε κριτήριον καθίσαι. καὶ βίβλοι ἀνεῴχθησαν. τί λέγεις; βιβλίων ὁ θεὸς δεῖται, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν;

tempus iudicij eſſe. *Veſtimentum eius, quaſi nix, candidum.* Quare? Quoniam non modò tempus eſt iudicij, ſed retributionis quoque: quoniam cunctos ipſi aſtare oportet: quoniam *iudicium illius*, inquit, *quaſi lux egredietur.* Os. 6. 5.
Deinde *throni poſiti ſunt.* Nonne throni in quibus *ſedebitis*, inquit, *ſuper duodecim thronos?* Matt. 19. 28.
Et capillus capitis eius quaſi lana munda. Ignis nihil conſumebat, quandoquidem lenis erat. Vides faciem & habitum ciuilem ac popularem? Thronus terrebat, quòd igne abundaret; & non igne ſimpliciter, ſed igne ardente. Nam ne exiſtimares, per ſimilitudinem factam eſſe comparationem; addidit ignis illius efficaciam, non ſolùm ignem dicens, ſed ignem ardentem. *Fluuius ignis manabat à conſpectu eius. Mille millia miniſtrabant ei, & dena millia denum millium aſſiſtebant ante eum. Iudicium ſedit.* Hoc eſt ideo aduenit, vt iudicium daretur. *Et libri aperti ſunt.* Quid ais? Libris Deus indiget, *Qui omnia nouit antequam fiant?* Dan. 13. 42.

Ps. 32. 15. *Qui finxit sigillatim corda hominum?* Sed iuxta consuetudinem magistratuum nostrorum loquitur; & sic Acta fiunt apud nos. Sicut enim Acta non ideo leguntur, vt magistratus solùm edoceatur; sed etiam vt appareat iustum esse iudicium: ita & tunc euenit. Nam licèt Deus sciat se iustè iudicare, attamen libros aperit. Cuius rei gratiâ? Quid ais, & quid tibi vis? Cur non præmia quoque dicit? At dixit: *(Throni positi sunt:)* quandoquidem Deus & illa definiuit: postquam verò nos non audiimus; tunc punitionem & supplicium minatus est. Et nonne nobis hanc primam vocem emisit? *Exinde cœpit*, inquit, *prædicare regnum cœlorum.* Nihil corporeum suspiceris, dilecte; nec existimes Deum, qui immensus est, solio esse inclusum.
Ps. 94. 4. Nam si *in manu eius sunt fines terræ.* Si *montes statuit*
Is. 40 12, 15. *staterâ: si omnes gentes quasi saliua, in conspectu eius reputatæ sunt; & si cuncta sicut puluis coram eo*, vt ipsemet ait: quis locus totum simul comprehendere poterit? Sed quid? Res non ita

ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν; ἀλλὰ κατὰ τὸν νόμον τῶν ἀρχόντων τούτων λέγει, ὥσπερ τὰ ὑπομνήματα πράττεται παρ' ἡμῖν. καθάπερ γὰρ ἐνταῦθα οὐ διὰ τοῦτο ἀναγινώσκεται, ὥστε μαθεῖν τὸν ἄρχοντα μόνον, ἀλλ' ὥστε φανῆναι δικαίαν οὖσαν τὴν κρίσιν· οὕτω καὶ τότε. εἰ καὶ οἶδε δικαίως δικάζων, ἀλλ' ὅμως ἀνοίγει τὰς βίβλους. τίνος ἕνεκεν; τί λέγεις, καὶ τί θέλεις εἰπεῖν; τίνος ἕνεκεν οὐ λέγει καὶ τὰς τιμάς; εἶπε· θρόνοι ἐτέθησαν, ἐπεὶ καὶ ὁ θεὸς ταύτας ὥρισεν, ὅτε δὲ καὶ οὐκ ἠκούσαμεν, τότε τὴν τιμωρίαν καὶ τὴν κόλασιν. καὶ οὐχ ἡμῖν πρώτην ταύτην ἀφῆκε φωνήν; ἀπὸ τότε ἤρξατο, φησὶ, κηρύσσειν τὴν βασιλείαν τῶν οὐρανῶν. μηδὲν σωματικὸν ὑπολάβῃς, ἀγαπητέ. μὴ δὲ ἐμπεριειλῆφθαι θρόνῳ τὸν ἄπειρον θεὸν νομίσῃς. εἰ γὰρ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, εἰ τὰ ὄρη ἔστησε ζυγῷ, εἰ πάντα τὰ ἔθνη ὡς σίελος ἐνώπιον αὐτοῦ ἐλογίσθη, καὶ ὡς κονιορτὸς ἐνώπιον αὐτοῦ τὰ πάντα, ὡς αὐτός φησι, ποῖος τόπος ὅλον ὁμοῦ περιλαβεῖν δυνήσεται; ἀλλὰ τί; οὐκ ἔστι.

τοῦτο, οὐκ ἐναπείληπται θρόνῳ. εἰ δὲ ἔνδυμα εἶχε, πῶς οὐκ ἀνήλωσεν αὐτὸ τὸ πῦρ; πῶς εἰ δὲ παλαιὸς ἡμερῶν, ὁ πρὸ πάντων τῶν αἰώνων ὑπάρχει; πῶς δὲ καὶ παλαιός; σὺ γὰρ, φησὶ, ὁ αὐτὸς εἶ. πῶς οὖν παλαιός; καὶ τὰ ἔτη σου γὰρ, φησὶ, οὐκ ἐκλείψουσιν. πῶς δὲ καὶ ἔνδυμα γένοιτ᾽ ἂν περὶ τὸν ἄπειρον καὶ ἀσώματον; οὐδὲ γὰρ τῆς μεγαλωσύνης αὐτοῦ, φησὶ, ἔστι πέρας. καὶ πάλιν· ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. πῶς οὖν ἱματίῳ περιεγράφετο ἀνθρωπίνῳ, καὶ οὔτε τοῦτο ἀνήλισκεν. ἀλλὰ μὴν καὶ ἕτερα πολλὰ ἠδύνατο ἰδεῖν ὁ προφήτης. πῶς δὲ τρίχες ἐν πυρὶ οὐκ ἀνηλίσκοντο; διὰ γὰρ τοῦτο ἐπήγαγεν· ὁ θρόνος αὐτοῦ πῦρ φλέγον. καὶ βίβλοι ἀνεῴχθησαν, ὥστε αὐτοκατάκριτον γενέσθαι τὸν κρινόμενον. ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει. θεωρῶν ἤμην, ἕως ἀνῃρέθη τὸ θηρίον, καὶ ἀπώ-

se habet: solio non includitur Deus. Si autem vestimentum habebat, quomodo ignis illud non consumpsit? Et qua ratione antiquus dierum dicitur ille, qui ante omnia sæcula extitit? Quo pacto autem & antiquus? *Tu enim*, inquit, Ps. 101. 28.
idem ipse es: Cur igitur antiquus, cùm dicatur: *& anni tui non deficient?* Quî verò vestimentum quoque fuerit circa immensum ac incorporeum? *Etenim magnitudinis eius*, inquit, Ps. 144. 3.
non est finis: & rursus: *si* Ps. 138. 8.
ascendero in cœlum, tu illic es; si descendero in infernum, ades. Quomodo igitur veste circumscribebatur humanâ, nec illam consumebat? At verò & alia eiusmodi multa videre ac legere poterat Propheta. Quomodo autem capilli in igne non absumebantur? Propter hoc siquidem subiecit: *Thronus eius ignis ardens. Et libri aperti sunt.* Vt ille qui damnatur, suo sibi iudicio condemnetur. II. *Aspiciebam tunc à voce sermonum grandium, quos cornu illud loquebatur. Spectabam donec interfecta est bestia illa, & per-*

riit ob magniloquentiam. Quamquam Alexander Deum adorauit. *Et corpus eius datum est in combustionem ignis.* 12. *Et reliquarum bestiarum translatus est principatus : & longitudo vitæ data est eis vsque ad tempus & tempus.* Quamuis finem habuerint, attamen hoc factum est. *Et combusta est bestia, & corpus illius igne absumptum.* Funditus periisse declarat. 13. *Aspiciebam in visione noctis : & ecce cum nubibus cæli, quasi filius hominis veniebat.* Quis hæc ignorat? Quis perspicere poterit? Num enim Petrus est qui ista dicit, ô Iudæe? Num Paulus? *Et ecce*, inquit, *quasi filius hominis veniebat : & vsque ad antiquum dierum peruenit.* Ecce & par dignitas vtriusque. *Et in conspectu eius oblatus est illi.* Vt cùm videris ipsi regnum tradi; illud, tradi, humano modo non censeas accipiendum. Nam *à nubibus cæli*, inquit. Nubes autem pro cœlo sumere solet Scriptura. 14. *Et ipsi datus est principatus, & honor, & regnum : & omnes populi,*

λετο, ἀπὸ τῆς μεγαληγορίας. καίτοι ἀλέξανδρος προσεκύνησε τὸν θεόν. καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός. καὶ τῶν λοιπῶν θηρίων μετεστάθη ἡ ἀρχή, καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως καιροῦ καὶ καιροῦ. εἰ καὶ τέλος ἔσχον, ἀλλ' ὅμως τοῦτο ἐγένετο. καὶ κατεκαύθη τὸ θηρίον, καὶ τὸ σῶμα αὐτοῦ ἐκαύθη. τὸ παντελῶς ἀνῃρῆσθαι δηλοῖ. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν. τίς ταῦτα ἀγνοεῖ; τίς διαβλέψαι δυνήσεται; μὴ γὰρ πέτρος ταῦτα λέγει, ὦ ἰουδαῖε; μὴ γὰρ παῦλος; καὶ ἰδού, φησί, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν. ἰδοὺ καὶ τὸ ὁμότιμον. ἐνώπιον αὐτοῦ προσηνέχθη αὐτῷ. ἵνα ὅταν ἴδῃς διδομένην αὐτῷ τὴν βασιλείαν, μὴ ἀνθρωπίνως νομίσῃς εἶναι τὸ δεδόσθαι. ἀπὸ γὰρ τῶν νεφελῶν τοῦ οὐρανοῦ, φησί. τὰς δὲ νεφέλας ἀντὶ τοῦ οὐρανοῦ παραλαμβάνειν εἴωθεν ἡ γραφή. καὶ αὐτῷ ἐδόθη ἡ ἀρχή, καὶ ἡ τιμή, καὶ ἡ βασιλεία. καὶ πάντες οἱ λαοί, φυ-

φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν. ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται. καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. τί τούτου σαφέστερον, εἰπέ μοι; καὶ πάντες λαοί, φησί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν. ὅρα πῶς ἅπαν τὸ ἔθνος τῆς οἰκουμένης περιέγραψεν. ὅρα καὶ τὸ κριτήριον αὐτὸν λαβόντα. ἵνα γὰρ μὴ χρόνου νομίσῃς εἶναι τοῦτο· φησί, ἥτις οὐ παρελεύσεται. καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, ἀλλ' ἕστηκε καὶ μένει. εἰ δὲ ἀπιστεῖς, ἀπὸ πραγμάτων πείθου. εἶδες ὁμοτιμίαν αὐτοῦ πρὸς τὸν πατέρα; ἐπειδὴ γὰρ ὕστερος ἐφάνη τοῦ πατρός, διὰ τοῦτό φησι, ὅτι ἦλθε μετὰ τῶν νεφελῶν. ὅτι δὲ ἦν καὶ πρώην, δῆλον ἐκ τῶν νεφελῶν. ἐπὶ τῶν νεφελῶν γὰρ ἔρχεται. καὶ αὐτῷ προσηνέχθη ἡ τιμή. ἣν εἶχε τουτέστι. καὶ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσι. τὴν μὲν γὰρ ἀρχὴν εἶχεν ἄνω, τότε δὲ ἔλαβεν αὐτὴν ἣν εἶχεν. ὥσπερ γὰρ ἐπὶ τοῦ πατρὸς νοεῖς τὰς τρίχας, καὶ τὰ λοιπά· οὕτω καὶ τοῦτο. τὸ δὲ ἐδόθη, καὶ ὅσα τοιαῦτα ἀκούων, μηδὲν ἀν-

tribus, linguæ ipsi seruient: potestas eius potestas æterna, quæ non pertransibit: & regnum eius non corrumpetur. Quid, quæso, his verbis manifestius? *Et omnes populi,* inquit, *tribus, linguæ ipsi seruient.* Vide vt omnem orbis gentem complexus sit. Vide vt & iudicis acceperit tribunal ac potestatem. Ne enim id esse temporarium existimes, ait: *Quæ non pertransibit: & regnum illius non corrumpetur:* sed stat ac manet. Quòd si fidem non habes; à rebus persuadere. Vides æqualitatem honoris cum Patre? Nam quia Filius post Patrem apparuit, propter hoc ait eum venisse cum nubibus. Quòd autem exsisteret & antea, clarum est ex ipsis nubibus. Siquidem in iis venit. *Et illi delatus est honor.* Quem habebat scilicet. *Et populi, tribus, linguæ ipsi seruient.* Principatum etenim habebat antea; tunc verò illum ipsum quem obtinebat accepit. Nam sicut in Patre intelligis, capillos, & reliqua: ita & istud accipiendum. Cùm autem audis, datum est, & alia id genus; nihil hu-

manum ſuſpiceris, nec humile de filio. Sicut enim videns eum qui ſenuit, non ſenem arbitraris: ita & cetera. Noli quippe perſpicuitatem in prophetiis quærere, vbi vmbræ ſunt ac ænigmata. Quemadmodum in fulgure non exquiris lumen perpetuum; ſed ſufficit ſi modò appareat. 15. *Horruit ſpiritus meus, ego Daniel in habitu meo: & viſiones capitis mei turbabant me.* Meritò ſub aſpectu eorum quæ videntur, Patrem & Filium iſte & primus & ſolus, vt in viſione videt. Quid ad hoc reſpondeant Iudæi? Cùm enim Domini aduentus deinceps propior futurus eſſet; meritò & viſiones mirabiles apparent. 16. *Et acceßi ad vnum aßiſtentium: & veritatem de his omnibus quærebam ab eo diſcere. Et dixit mihi veritatem; & ſermonum interpretationem indicauit mihi.* Interrogat quænam tandem eſſent quæ apparebant: & edocetur de Antichriſto; & diſcit regnum quod non habet finem. 17. *Hæ, inquit, beſtiæ magnæ, quatuor regna conſurgent.* 18. *Et ſancti Al-*

θεράπινον ὑποπτεύσῃς, μὴ δὲ ταπεινὸν περὶ τοῦ υἱοῦ. ὥσπερ γὰρ γεγηρακότα ὁρῶν, οὐχὶ γέροντα ὑποπτεύεις, οὕτω καὶ τὰ λοιπά. μὴ γὰρ ζήτει τὴν σαφήνειαν ἐν ταῖς προφητείαις, ἔνθα σκιαὶ καὶ αἰνίγματα. ὥσπερ ἐπὶ τῆς ἀστραπῆς οὐ ζητεῖς διηνεκὲς φῶς, ἀλλὰ ἀρκεῖ φανῆναι μόνον. ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ δανιὴλ ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάρασσόν με. εἰκότως ὑπὸ τῆς ὄψεως τῶν ὁρωμένων, πατέρα καὶ υἱὸν οὗτος καὶ πρῶτος, καὶ μόνος ὁρᾷ, ὡς ἐν ὄψει. τί ἂν ἔχοιεν ἰουδαῖοι πρὸς τοῦτο εἰπεῖν; μελλούσης γὰρ τῆς παρουσίας αὐτοῦ λοιπὸν ἐγγυτέρω εἶναι, εἰκότως καὶ αἱ ὄψεις θαυμασταὶ φαίνονται. καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων, καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ, μαθεῖν περὶ τούτων πάντων. καὶ εἶπέ μοι τὴν ἀλήθειαν, καὶ τῶν λόγων τὴν σύγκρισιν ἐγνώρισέ μοι. ἐρωτᾷ τί ποτέ ἐστι τὰ φαινόμενα· καὶ μανθάνει περὶ τοῦ ἀντιχρίστου, καὶ μανθάνει βασιλείαν τέλος οὐκ ἔχουσαν. ταῦτα, φησὶ, τὰ θηρία τὰ μεγάλα, τέσσαρες βασιλεῖαι ἀναστήσονται, καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι

ὑψίστου, καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος, καὶ ἕως αἰῶνος αἰώνων. καὶ ἐζήτουν ἀκριβῶς, περὶ τοῦ θηρίου, τοῦ τετάρτου, ὅτι ἦν διαφέρον παρὰ πᾶν θηρίον, καὶ φοβερὸν περισσῶς· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, οἱ ὄνυχες αὐτοῦ χαλκοῖ· ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. καὶ περὶ τῶν κεράτων αὐτοῦ, τῶν δέκα, τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῦ ἑτέρου τοῦ ἀναβάντος, καὶ ἐκτινάξαντος τῶν προτέρων τρία· καὶ τὸ κέρας ἐκεῖνο, ᾧ ὀφθαλμοὶ αὐτῷ, καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτοῦ μείζων τῶν λοιπῶν. ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσε πρὸς αὐτούς. ἕως οὗ ἦλθεν ὁ παλαιὸς τῶν ἡμερῶν, καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου, καὶ ὁ καιρὸς ἔφθασε, καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. καὶ εἶπεν οὕτως· τὸ θηρίον τὸ τέταρτον, βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συμπατήσει αὐτὴν, καὶ κατακόψει αὐτήν. καὶ τὰ δέκα κέρατα αὐτοῦ, δέκα βασιλεῖς ἀναστήσονται, καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος, ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς

tißimi ſuſcipient regnum; & obtinebunt illud vſque in ſæculum, & vſque in ſæculum ſæculorum. 19. Et quærebam diligenter de beſtia quarta; quia erat diuerſa ab omni beſtia, & terribilis valde: dentes eius ferrei; vngues eius ænei: comedens & comminuens; & reliqua pedibus ſuis conculcabat. 20. Et de cornibus eius decem, quæ in capite illius; & de alio, quod aſcenderat, & excuſſerat priorum tria: & cornu, cui erant oculi, & os loquens grandia, & aſpectus eius maior ceteris. 21. Aſpiciebam, & cornu illud faciebat bellum cum ſanctis; & præualuit aduerſus eos. 22. donec venit antiquus dierum, & iudicium dedit ſanctis Altißimi; & tempus aduenit, & regnum obtinuerunt ſancti. Et dixit ſic: 23. beſtia quarta, regnum quartum erit in terra, quod ſuperabit omnia regna, & deuorabit omnem terram, & conculcabit eam, & concidet eam. 24. Et decem cornua ipſius, decem reges conſurgent; & poſt eos conſurget alius, qui ſuperabit malis omnes

priores, & tres reges humiliabit. 25. Et ſermones contra Altiſſimum loquetur, & ſanctos Altiſſimi inueterabit: & cogitabit mutare tempora & legem; & tradetur in manu eius vſque ad tempus. 26. Et iudicium ſedit; & principatum eius transferent, vt deleant & diſperdant vſque in finem. 27. Et regnum, & poteſtas, & magnitudo regum, qui ſubter omne cælum, data ſunt ſanctis Altiſſimi: & regnum eius, regnum ſempiternum: & omnes principatus ſeruient ipſi, ac obedient. 28. huc vſque finis verbi. Ego Daniel: cogitationes meæ multum conturbauerunt me, & forma mea mutata eſt: & verbum in corde meo conſeruaui. Et quare verbum illud non dixiſti, ô homo? Quia ad Iudæos nullatenus ſpectabat: ſed è contrà, in verbis quidem, ea per obſcuritatem occultabat; in Propheta autem, conſeruauit in corde. Etenim ſub finem ait: *Ecce*
Dan. 12. 9. *ſermones ſignati.* Et vult illos obſcuros eſſe: id facit etiam ipſe, (Ieſus Chriſtus) per parabolas loquens. Vi-

ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς ταπεινώσει. καὶ λόγους πρὸς τὸν ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους ὑψίστου παλαιώσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον, καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ. καὶ τὸ κριτήριον ἐκάθισε, καὶ τὴν ἀρχὴν αὐτοῦ μεταστήσουσι τοῦ ἀφανίσαι, καὶ τοῦ ἀπολέσαι ἕως τέλους. καὶ ἡ βασιλεία, καὶ ἡ ἐξουσία, καὶ ἡ μεγαλωσύνη τῶν βασιλέων τῶν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἐδόθη ἁγίοις ὑψίστου. καὶ ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος. καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύσουσι καὶ ὑπακούσονται. ἕως ὧδε τὸ πέρας τοῦ λόγου. ἐγὼ δανιήλ. οἱ διαλογισμοί μου ἐπὶ πλεῖον συνετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοιώθη, καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου συνετήρησα. καὶ τίνος ἕνεκεν οὐκ εἶπες ἄνθρωπε; ὅτι οὐδὲν πρὸς ἰουδαίους ἦν· ἀλλὰ τοὐναντίον ἐν μὲν τοῖς ῥήμασι διὰ τῆς ἀσαφείας αὐτὰ συνεκάλυπτεν, ἐν δὲ τῷ προφήτῃ συνετήρησεν ἐν τῇ καρδίᾳ. καὶ γὰρ πρὸς τῷ τέλει φησι, ἰδοὺ οἱ λόγοι ἐσφραγισμένοι. καὶ βούλεται αὐτοὺς ἀσαφεῖς εἶναι. τοῦτο ποιεῖ καὶ αὐτὸς διὰ παραβολῶν λέγων.

ὅρα πανταχοῦ πῶς τὴν βασιλείαν ἐπαίρῃ, ἵνα μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς. εἰ γὰρ καὶ πᾶσαν τὴν γῆν κατέσχον οἱ ἄνθρωποι, ἀλλ' οὐκ ἀεὶ, οὐδὲ εἰς ἄπειρον αἰῶνα. καὶ μή μοι λεγέτω τις ὅτι βραχὺν χρόνον λέγει. τὸ γὰρ οὐ παρελεύσεται, τί ἐστιν; οὐ δὲ ἔθνει ἑτέρῳ δοθήσεται. καὶ ὅρα τὰ κατὰ δαρεῖον, καὶ μακεδόνας. τίνος ἕνεκεν ταῦτα; διὰ τοὺς ἰουδαίους. διὰ τοῦτο καὶ ἀλέξανδρος προσεκύνησε τὸν ναὸν, ὥς φασι, τὸ βιβλίον τοῦτο ἰδών· καὶ ἕλληνες ἐθαύμασαν αὐτοῦ τὴν ἰσχὺν τῆς προρρήσεως. περὶ τούτων οὐδεὶς εἶπεν, ἀλλ' ἢ οὗτος μόνος.

de quomodo vbique regnum extollat Daniel, vt nihil humani suspiceris. Etsi enim vniuersum orbem obtinuerint homines; at non semper, neque in infinitum sæculum. Nec mihi quisquam dicat, breue tempus memorari. Quid enim sibi vult illud: *Non pertransibit, neque genti alteri tradetur?* Et aspice quæ inter Darium & Macedonas gesta sunt. Quam ob caussam hæc? Propter Iudæos. Ideo & Alexander adorauit templum, vt aiunt, cùm hunc Danielis librum inspexisset: & Græci vim prædictionum ipsius admirati sunt. Porro de istis rebus nemo locutus est, nisi hic solus.

Dan. 2. 44.

ΚΕΦ. Η'.

ΕΝ ἔτει τρίτῳ τῆς βασιλείας Βαλτάσαρ, ὅρασις ὤφθη πρὸς μέ. ἐγὼ δανιὴλ, μετὰ τὴν ὀφθεῖσάν μοι ἐν τῇ ἀρχῇ. καὶ εἶδον ἐν τῇ ὁράσει· καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, καὶ ἤμην ἐν σούσοις τῇ βάρει, ἥ ἐστιν ἐν χώρᾳ ἐλάμ. καὶ εἶδον ἐν ὁράματι, καὶ ἤμην ἐπὶ

CAPVT VIII.

1. *IN anno tertio regni Baltasaris, visio apparuit mihi: ego Daniel, post eam quæ mihi apparuerat in principio.* 2. *Et vidi in visione: Et factum est cùm ego viderem, & eram in Susis Regiâ, quæ in prouincia Elamitide sita est. Et vidi in visione, & eram*

ſuper Vbal. 3. Et leuaui oculos meos, & vidi: & ecce aries vnus ſtans ante Vbal: & ipſi erant cornua, & cornua excelſa; & vnum excelſius altero; & excelſius aſcendebat in extremis. 4. Et vidi arietem cornu petentem contra mare, & Aquilonem, & Auſtrum, & Africum: & omnes beſtiæ non ſtabunt coram eo; & non erat qui erueret de manu eius: & fecit ſecundùm voluntatem ſuam, & magnificatus eſt. 5. Et ego eram intelligens: & ecce hircus caprarum veniebat ab Africo ſuper faciem totius terræ: & non tangebat terram: & hirco illi, cornu ſpectabile in medio oculorum eius. 6. Et venit hircus vſque ad arietem illum habentem cornua, quem videram ſtantem coram Vbal: & cucurrit ad eum in ira fortitudinis ſuæ. 7. Et vidi eum perueniſſe vſque ad arietem: & efferatus eſt in eum; percuſſitque arietem, & contriuit vtraque cornua eius: & non erat robur arieti, vt ſtaret coram eo. Et proiecit ipſum in terram, & conculcauit ipſum; & non erat qui li-

τοῦ οὐβάλ. καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον· καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ οὐβάλ· καὶ αὐτῷ κέρατα, καὶ τὰ κέρατα ὑψηλά· καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτων. καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν, καὶ βοῤῥᾶν, καὶ νότον, καὶ λίβα· καὶ πάντα τὰ θηρία οὐ στήσονται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ· καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη. καὶ ἐγὼ ἤμην συνιῶν· καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς· καὶ οὐκ ἦν ἁπτόμενος τῆς γῆς· καὶ τῷ τράγῳ ἐκείνῳ κέρας θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ. καὶ ἦλθεν ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, ὃν εἶδον ἑστῶτα ἐνώπιον τοῦ οὐβάλ· καὶ ἔδραμε πρὸς αὐτὸν ἐν ὀργῇ τῆς ἰσχύος αὐτοῦ. καὶ εἶδον αὐτὸν φθάσαντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριώθη πρὸς αὐτὸν, καὶ ἔπαισε τὸν κριὸν, καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ· καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ. καὶ ἔῤῥιψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτὸν, καὶ οὐκ ἦν ὁ ἐξαι-

ρύσασθαι τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη ἕως σφόδρα. καὶ ἐν τῷ ἰσχύσαι αὐτὸν, συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα· καὶ ἀνέβη τέσσαρα κέρατα ὑποκάτωθεν αὐτοῦ εἰς τοὺς δʹ. ἀνέμους τοῦ οὐρανοῦ. καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυρὸν, καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον, καὶ πρὸς ἀνατολὴν, καὶ πρὸς τὴν δύσιν. καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ· καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῶν ἀστέρων, καὶ συνεπάτησεν αὐτούς. καὶ ἕως ἄρχοντος τῆς δυνάμεως ἡδρύνθη· καὶ δι' αὐτὸν θυσία ἐταράχθη· καὶ ἐγενήθη, καὶ κατευωδώθη αὐτῷ. καὶ τὸ ἅγιον ἐρημωθήσεται· καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη. καὶ ἐποίησε, καὶ εὐωδώθη. καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος, καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνὶ τῷ λαλοῦντι· ἕως πότε ἡ ὅρασις στήσεται, καὶ ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία τῆς ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὸ ἅγιον, καὶ ἡ δύναμις συμπατηθήσεται; καὶ εἶπεν αὐτῷ, ἕως ἑσπέ-

beraret arietem de manu eius. 8. *Et hircus caprarum magnificatus est mirum in modum. Et cùm inualesceret ipse, contritum est cornu illius magnum: & ascenderunt quatuor cornua subter illud, in quatuor ventos cæli.* 9. *Et ex vno eorum egressum est cornu vnum forte; & factum est grande nimis, ad Austrum, & ad Orientem, & ad Occidentem.* 10. *Et magnificatum est vsque ad virtutem cæli: & deiecit in terram de virtute cæli, & de stellis, & conculcauit eas.* 11. *Et vsque ad principem virtutis magnificatum est: & per ipsum, sacrificium turbatum est: & factum est, & prosperè successit ei.* 12. *Et sanctuarium desolabitur: & datum est super sacrificium peccatum, & proiecta est humi iustitia. Et fecit, & prosperè ei fuit.* 13. *Et audiui vnum sanctum loquentem: & dixit vnus sanctus, Phelmoni loquenti: vsquequò visio stabit, & sacrificium ablatum, & peccatum desolationis datum; & sanctum, & virtus conculcabitur?* 14. *Et dixit ei: vsque ad vespe-*

ram & mane dies bis mil-
le ac trecenti ; & munda-
bitur sanctuarium. 15. *Et*
factum est dum viderem,
ego Daniel visionem, &
quærerem intelligentiam. Et
ecce stetit in conspectu meo.
Et visio viri inter Vbal. 16.
Et vocauit, & dixit: Gabriel,
fac istum intelligere visio-
nem. 17. *Et venit, & ste-*
tit iuxta stationem meam.
Et cùm ille veniret, terri-
tus sum, & cado in faciem
meam. Et dixit ad me:
intellige fili hominis, ad-
huc enim in temporis finem
visio. 18. *Cúmque loquere-*
tur ipse mecum; cado in fa-
ciem meam super terram:
& tetigit me, & statuit me
super pedes meos. 19. *Et di-*
xit: ecce ego indico tibi
quæ futura sunt in nouissi-
mis iræ: adhuc enim in
temporis finem. 20. *Aries*
quem vidisti, qui habebat
cornua, rex Medorum est,
atque Persarum. 21. *Et hir-*
cus caprarum, rex Græco-
rum. Et cornu magnum,
quod erat inter oculos eius,
ipse est rex primus. 22. *Et*
quòd contritum est, & sur-
rexerunt quatuor cornua
subter ipsum; quatuor reges
consurgent de gente eius, &

ἑσπέρας καὶ πρωῒ ἡμέραι δισχίλιαι καὶ
τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅ-
γιον. καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με,
ἐγὼ δανιὴλ τὴν ὅρασιν * ζητῶν * καὶ ἐζή-τουν
σύνεσιν. καὶ ἰδοὺ ἔστη ἐνώπιόν μου.
καὶ ὅρασις ἀνδρὸς ἀνὰ μέσον τοῦ οὐ- ὡς. d.
βάλ. καὶ ἐκάλεσε, καὶ εἶπεν· γα-
βριὴλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν.
καὶ ἦλθε, καὶ ἔστη ἐχόμενα τῆς στάσεώς
μου. καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν, ἐθαμ-
βήθην, καὶ πίπτω ἐπὶ πρόσω-
πόν μου. καὶ εἶπε πρός με· σύνες
υἱὲ ἀνθρώπου, ἔτι γὰρ εἰς και-
ροῦ πέρας ἡ ὅρασις. καὶ ἐν τῷ
λαλεῖν αὐτὸν μετ' ἐμοῦ, πίπτω
ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν
γῆν· καὶ ἥψατό μου, καὶ ἔστησέ με
ἐπὶ τοὺς πόδας μου· καὶ εἶπεν· ἰ-
δοὺ ἐγὼ γνωρίζω σοι τὰ ἐσόμενα
ἐπ' ἐσχάτων τῆς ὀργῆς· ἔτι γὰρ εἰς
καιροῦ πέρας. ὁ κριὸς ὃν εἶδες, ὁ ἔ-
χων τὰ κέρατα, βασιλεὺς μήδων
καὶ περσῶν. καὶ ὁ τράγος τῶν αἰγῶν, βα-
σιλεὺς ἑλλήνων. καὶ τὸ κέρας τὸ μέ-
γα, ὃ ἦν ἀνὰ μέσον τῶν ὀφθαλμῶν
αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ
πρῶτος· καὶ ὅτι συνετρίβη, καὶ ἀνέστη
τέσσαρα κέρατα ὑποκάτωθεν
αὐτοῦ, τέσσαρες βασιλεῖς ἀναστή-
σονται ἀπὸ τοῦ ἔθνους αὐτοῦ, καὶ
οὐκ

οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ. καὶ ἐπ' ἐσχά-
των τῆς βασιλείας αὐτῶν, πλη-
ρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀ-
ναστήσεται βασιλεὺς ἀναιδὴς προ-
σώπῳ, καὶ συνιῶν προβλήματα.
καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ, καὶ οὐκ ἐν
τῇ ἰσχύϊ αὐτοῦ, καὶ θαυμαστὰ δια-
φθερεῖ, καὶ ποιήσει, καὶ διαφθερεῖ ἰ-
σχυροὺς καὶ λαὸν ἅγιον. καὶ ὁ ζυγὸς τοῦ
κλοιοῦ αὐτοῦ κατευθυνεῖ. δόλος ἐν
τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ
μεγαλυνθήσεται, καὶ δόλῳ δια-
φθερεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείᾳ
πολλῶν στήσεται, καὶ ὡς ᾠὰ ἐν χει-
ρὶ συντρίψει αὐτούς. καὶ ἡ ὅρασις
τῆς ἑσπέρας, καὶ τῆς πρωΐας τῆς ῥηθεί-
σης, ἀληθής ἐστιν. καὶ σὺ σφράγι-
σαι τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολ-
λὰς ἔσται. καὶ εἶπε, φησί, γνώρισον
ἐκείνῳ τὴν ὅρασιν, Γαβριήλ. ὁ-
ρᾷ ἐπιτάγματα ἀγγέλων καὶ ἀρ-
χαγγέλων. μείζων ἴσως δύναμις
ἑτέρα; καὶ ἦλθε, φησί, καὶ ἐθαμβή-
θην. καὶ ἔστη ἐχόμενα τῆς στάσεώς
μου. καὶ ἐν τῷ ἐλθεῖν αὐτόν, ἐθαμ-
*l. ποῦ βήθην. * τοῦ πίνυν οἱ τοὺς ἀγγέ-
λους κακῶς λέγοντες; οὐκ ἀφ' ἑ-
αυτοῦ τι ἐποίησεν. ὁρᾷς καὶ αὐτοὺς
εἰς τάξεις πολλάς, καὶ διατυπώ-
σεις τεταγμένους; ἐν τῇ πρώ-

non in fortitudine illius. 23.
Et in extremis regni ipso-
rum, completis peccatis eo-
rum, consurget rex impu-
dens facie, & intelligens
problemata. 24. *Et robusta*
fortitudo eius, & non in
viribus suis: & mirabi-
liter peruertet, & faciet,
& corrumpet fortes, & po-
pulum sanctum. 25. *Et iu-*
gum catenæ eius dirigetur:
dolus in manu eius, & in
corde suo magnificabitur:
& dolo destruet multos, &
in perditione multorum sta-
bit; & quasi oua in manu
conteret eos. 26. *Et visio*
vespertini ac matutini tem-
poris supradicti, vera est.
Et tu signa visionem, quia
in dies multos erit. Et di-
xit; inquit, *illi visionem*
manifesta, Gabriel. Aspice
iussa Angelorum & Archan-
gelorum. Maiorne est po-
testas alia? *Et venit;* in-
quit, *& territus sum. Et*
stetit iuxta stationem meam.
Et cùm ille veniret, territus
sum. Vbinam igitur sunt
qui Angelos maledictis pro-
sequuntur? Non à seipso
quicquam fecit Deus. Vi-
des & illos in ordines mul-
tos, formas, ac descriptio-
nes esse dispositos? In pri-

Dan. 7. 16. ma visione, *Accessi*, inquit, *& interrogaui.* Hic non item. *Et audiui vnum sanctum loquentem.* Et alius interrogauit: seu ignorans, vt Daniel disceret. *Et respondit*, inquit. *Et in nouissimis regni, completis peccatis eorum, consurget rex impudens facie.* Vide vt Iudæis ostendat, ipsos esse auctores istarum calamitatum. Ideo autem non patefecit sermones, ne illi de industria in malitia sua ac ignauia perstarent: si enim cùm nihil horum dictum fuerit, tamen illi permanserunt; multo magis si ea manifestata fuissent: & vt intelligas spiritum vbique vim habere; & Deum omnia præuidere; & cùm sciret Iudæos peccatores, tamen eos in patriam reduxisse. Et aspice, quia si dixisset annos, modicum tempus visum fuisset; ideo in dierum numerum resoluit, vt multitudine terreat, non dies tantùm, sed & noctes numerando. Et immoratur tragicæ calamitati, quæ per Antiochum contigit; vt vel sic terrorem incutiat. *Et non in viribus suis.* Id est, po-

τῇ προσῆλθε, φησὶ, καὶ ἠρώτησα. ἐνταῦθα οὐκέτι. καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος. καὶ ἕτερος ἠρώτησεν, ἤτοι ἀγνοῶν, ἵνα ἐκεῖνος μάθῃ. καὶ ἀπεκρίνατο, φησί. καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ. ὅρα πῶς δείκνυσιν αὐτοῖς, ὅτι αὐτοὶ αἴτιοι. διὰ δὲ τοῦτο οὐ φανεροῖ τοὺς λόγους, ἵνα μὴ ἐθελοκακήσαντες μένωσιν. εἰ γὰρ μηδενὸς τούτων εἰρημένων, ἔμενον· πολλῷ μᾶλλον, φανερωθέντων. καὶ ἵνα μάθῃς ὅτι πανταχοῦ τὸ πνεῦμα ἰσχὺν ἔχει, καὶ ὅτι πάντα προοῖδεν ὁ θεός, καὶ ὅτι εἰδὼς ἁμαρτήσοντας ἀνήγαγε. καὶ ὅρα, ἐπειδὴ εἶπεν ἐνιαυτοὺς, ὀλίγος χρόνος ἐφαίνετο, εἰς ἡμερῶν ἀναλύει ἀριθμὸν, ἵνα τῷ πλήθει φοβήσῃ, οὐχ ἡμέρας, ἀλλὰ καὶ νύκτας ἀριθμῶν. καὶ ἐνδιατρίβει τῇ τραγῳδίᾳ τῇ κατὰ Ἀντίοχον, ἵνα κἂν οὕτω φοβήσῃ. καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ. τουτέστιν, ὅτι ἠδυ-

νατο ὁ θεὸς κωλῦσαι αὐτὸν, ἀλ-
λ' ἐπέτρεψε διὰ τὰς ἁμαρ-
τίας, καὶ οὐχ ἁπλῶς ἁμαρ-
τόντων, ἀλλ' ἡνίκα ἐπληρώ-
θησαν. ἆρα μέτρον τί ἐστιν; οὔ-
πω γὰρ δὴ ἐπεπλήρωντο, φησί,
αἱ ἁμαρτίαι τῶν ἀμορραίων. καὶ
ὅρα οὔπω λοιπὸν ἐμπρησμός,
ἀλλὰ σφαγῶν διαιρέσεις. ἐπει-
δὴ γὰρ ἔμελλόν τινες εἶναι οἱ
καλοὶ, καὶ προϊστάμενοι τῶν
πατέρων· καὶ τὰ τῆς τιμωρείας
ἐλάττω γέγονε. ταῦτα δὲ λέ-
γεται, ἵνα μὴ ταῖς νίκαις ταῖς
ἐπὶ Ζοροβάβελ ἐπαρθέντες,
ῥάθυμοι γίνωνται. καὶ ὅρα πῶς
οὐ τίθησι λαμπρά τινα ἐν-
ταῦθα μετὰ τὰ κατὰ ἀντίοχον,
ἀλλὰ μόνον λύσιν τῶν δεινῶν λέ-
γει, καὶ τὸν κατασχόντα καιρόν.
τί οὖν; ταύτην οὐ προεῖπε τὴν
αἰχμαλωσίαν; ναί, σφόδρα αἰ-
νιγματωδῶς· διὸ καὶ ὁ χριστὸς
εἶπεν· ὅταν ἴδητε τὸ βδέλυ-
γμα τῆς ἐρημώσεως, ὁ ἀναγι-
νώσκων νοείτω. ἐλεύσονται, φη-
σί, οὐχ ὡς αὐτοῦ προειπόν-
τος. καὶ τινὲς μὲν λέγουσιν, ὅ-
τι εἰκότως ταῦτα οὐ προερ-
ρήθη. οὐ γὰρ εἶχε χρόνον ἡ

terat Deus illum reprimere:
ſed permiſit ob peccata, &
non eorum qui ſimpliciter
peccaſſent, ſed poſtquam
completa ſunt peccata. Igi-
tur delictorum aliqua men-
ſura eſt? *Nondum enim,* Gen. 15.
inquit, *completa erant pec-* 16.
cata Amorrhæorum. Et ad-
uerte, nondum itaque in-
cendium, ſed cædium oc-
ciſiones. Nam cùm quidam
futuri eſſent boni, & pa-
tribus præſtantiores: ſup-
plicia quoque minora fue-
re. Hæc autem dicuntur,
ne victoriis, quas ſub Zo-
robabele reportaturi erant,
elati, ſegnes fierent. Et vi-
de vt ſplendida quædam
non ponat hîc, poſt illa quæ
ad Antiochum pertinent:
ſed dumtaxat ſolutionem à
calamitatibus, & tempus
quod obtinuit dicat. Quid
igitur? Huiúſne temporis
non prædixit captiuitatem?
Sanè prædixit, ſed valde
obſcurè. Ideóque Chriſtus
ait: *Cùm videritis abomi-* Matt.
nationem deſolationis, qui 24. 15.
legit intelligat. Venient, in-
quit, quaſi ipſe non vatici-
natus fuiſſet. Et nonnulli
quidem dicunt, meritò iſta
non eſſe prædicta: quoniam
hæc captiuitas tempus ac-

finem acceptura non erat.
Is. 53. 9. *Dabo enim*, inquit, *& improbos pro sepultura eius, & diuites pro morte eius. Et tu signa visionem hanc, quia in dies multos erit.* Hoc est, custodi, conserua; ne diuturnitate temporis corrumpatur. Vide Deum vbique illis parcere. Descenderunt in Ægyptum, improbi euaserunt; non abscessit, duxit eos in desertum. Permanserunt in malitia; non abstitit, introduxit eos in terram promissionis. Rursus illos reduxit sub Antiocho; adhuc iidem manserunt. Tempore Christi adhuc iidem: & neque sic abscessit; sed semper eorum curam gerit. Et quemadmodum naturalia, quæque à natura nobis insunt, numquam abstiterint, quidquid eueniat: ita nec Deus. Imò fieri quidem potest vt illa deficiant: at Dei prouidentiam ac curam recedere impossibile est. *Nam si*, inquit,
Is. 49. 15. *& oblita fuerit mulier misereri fœtuum vteri sui; sed ego non obliuiscar tui.* Sicut enim mater non respicit ad liberorum virtutem; sed naturæ legem implet: ita, & multo magis, Deus semper

αἰχμαλωσία αὕτη λαβεῖν. δώσω γάρ, φησὶ, καὶ τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ σὺ σφράγισαι τὴν ὅρασιν ταύτην, ὅτι εἰς ἡμέρας πολλὰς ἔσται. τουτέστι φύλαξον, διατήρησον, ἵνα μὴ τῷ μακρῷ χρόνῳ διαφθαρῇ. ὅρα πανταχοῦ τὸν θεὸν φειδόμενον αὐτῶν. κατῆλθον εἰς Αἴγυπτον, ἐγένοντο φαῦλοι· οὐκ ἀπέστη, ἤγαγεν εἰς τὴν ἔρημον. ἐπέμειναν τῇ κακίᾳ· οὐκ ἀπέστη, εἰσήγαγεν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. ἀνήγαγε πάλιν αὐτοὺς ἐπὶ Ἀντιόχου· πάλιν οἱ αὐτοὶ ἔμενον. ἐπὶ τοῦ Χριστοῦ πάλιν οἱ αὐτοί· καὶ οὐδὲ οὕτως ἀπέστη, ἀλλ᾽ ἀεὶ κήδεται. καὶ καθάπερ τὰ φυσικὰ οὐκ ἂν ἀποσταίη, τὰ φύσεως προσόντα ἡμῖν, ὅπερ ἂν γένηται· οὕτως οὐδὲ θεός. μᾶλλον δὲ ἐκεῖνα δυνατὸν ἀποστῆναι, αὐτὸν δὲ οὐδαμῶς προνοοῦντα, καὶ κηδόμενον. εἰ γὰρ καὶ ἐπιλάθοιτο, φησὶ, γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαί σου. καθάπερ γὰρ ἐκείνη οὐ πρὸς τὴν ἀρετὴν ὁρᾷ τῶν παίδων, ἀλλὰ φύσεως νόμον πληροῖ· οὕτω, καὶ πολλῷ μᾶλλον ὁ θεὸς ἀεὶ

κήδεται, οὐδέ ποτε ἀφίσταται, ἀεὶ δὲ αὐτὸ μεῖζον ἐπιδείκνυται. καὶ ἐγὼ Δανιὴλ ἐκοιμήθην, καὶ ἐμαλακίσθην ἡμέρας· καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως· καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν ὁ συνιών. πόθεν ἐμαλακίσθη; ἀπὸ τῆς ἀθυμίας ἴσως τῶν ἐσομένων δεινῶν, λογισάμενος πρὸς ἑαυτόν, ὅτι οὐδέ πω τὰ παρόντα τέλος ἔχει. καὶ τοσαῦτα, φησί, πάλιν δεινά. ἢ πάλιν, οὔπω κατήλλαξα αὐτοῖς τὸν θεόν, καὶ αὐτοὶ ἐκπολεμοῦσιν αὐτόν. καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως. τουτέστιν, ὑπηρέτουν. καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν ὁ συνιών. μάλιστα τοῦτο φέρει τινὰ ὀδύνην, ὅταν μὴ ᾖ ἐξενεγκεῖν ἐξῆν εἴς τινα τὰ λυπηρά· ἢ ὅτι πονηροὶ ἦσαν. καὶ ἐποίουν, φησί, τὰ ἔργα τοῦ βασιλέως. τουτέστιν, οὐδὲν παραλιμπάνων, ἀλλ' ἐποίουν τὰ ἔργα.

curam gerit, nec vmquam deſiſtit; ſemper eamdem menſuram exhibet. 27. *Et ego Daniel decubui, & ægrotaui dies aliquot: & ſurrexi; & faciebam opera Regis: & admirabar viſionem; & non erat qui intelligeret.* Vnde ægrotauit? Fortaſſis ex triſtitia ob futuras calamitates, ſecum reputans, nondum finem habere res præſentes. Et tot, inquit, adhuc ſuperſunt mala. Vel iterum, nondum Iudæis Deum reconciliaui; & ipſi eum ad bellum prouocant, ac ſibi reddunt inimicum. *Et ſurrexi; & faciebam opera Regis.* Id eſt, miniſtrabam. *Et admirabar viſionem; & non erat qui intelligeret.* Maximè id affert dolorem, cùm nequidem licet res triſtes efferre in aliquem: an quia improbi erant. *Et faciebam*, inquit, *opera Regis.* Hoc eſt, nihil prætermittebam, ſed fungebar officio meo.

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

Ἐν τῷ πρώτῳ ἔτει Δαρείου, τοῦ υἱοῦ Ἀσουήρου, ἀπὸ τοῦ σπέρματος Μήδων, ὃς ἐβασίλευσεν

CAPVT IX.

1. *In primo anno Darij, filij Aſſueri, de ſemine Medorum, qui regnauit*

super regnum Chaldæorum. 2. In anno vno regni eius, ego Daniel intellexi in libris numerum annorum, de quo factus est sermo Domini ad Ier. 25. 11. *Hieremiam Prophetam, in complementum desolationis Hierosolymæ septuaginta anni. Et dedi faciem meam ad Dominum Deum, vt exquirerem orationem & deprecationem in ieiuniis & sacco & cinere.* Iste est Darius Medus. Primum autem annum non regni ipsius ait: non enim dixit: in primo regni eius: sed: *In primo anno Darij, in vno anno regni eius.* Ita vt & dici possit primus annus, quo quidem ille regnabat, tunc verò fortè occiderat Baltasarem. *Ego Daniel intellexi in libris numerum annorum.* Id est Baltasaris cædem. Et reputaui. Aspice vt ante præfinitum tempus non audeat accedere ad Dominum. At tres quidem Pueri id agunt in fornace: iste verò in lacu non fecit. Quid igitur? vel illi malè; vel hic. Neutri. Illi siquidem amorem erga patriam ostendebant; hic verò intelligentiam temporis quod aduenerat. Nonne ergo intelligenter lege-

ἐπὶ τὴν βασιλείαν χαλδαίων. ἐν ἔτει ἑνὶ τῆς βασιλείας αὐτοῦ, ἐγὼ δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, περὶ οὗ ἐγενήθη λόγος κυρίου πρὸς ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως τῆς ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς κύριον τὸν θεόν, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ. οὗτος ὁ μῆδος δαρεῖος. πρῶτον δὲ ἔτος οὐχὶ τῆς βασιλείας αὐτοῦ φησι· οὐ γὰρ εἶπεν ἐν τῷ πρώτῳ τῆς βασιλείας αὐτοῦ, ἀλλ' ἐν τῷ πρώτῳ ἔτει δαρείου, ἐν ἑνὶ ἔτει τῆς βασιλείας αὐτοῦ, ὥστε δυνατὸν λέγεσθαι καὶ πρῶτον ἔτος, βασιλεύοντος μὲν αὐτοῦ, τότε δὲ ἀνελόντος ἴσως τοὺς περὶ βαλτάσαρ. ἐγὼ δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν. τουτέστι, τὴν σφαγήν. καὶ ἀνελογισάμην. ὅρα αὐτὸν πρὸ τῆς προθεσμίας οὐ τολμῶντα προσελθεῖν τῷ δεσπότῃ. ἀλλ' οἱ μὲν τρεῖς παῖδες ποιοῦσιν αὐτὸ ἐν τῇ καμίνῳ, οὗτος δὲ ἐν τῷ λάκκῳ οὐδὲν ἐποίησε. τί οὖν; ἢ ἐκεῖνοι κακῶς, ἢ οὗτος. οὐδ' ἕτεροι. ἐκεῖνοι μὲν γὰρ τὴν φιλοστοργίαν, οὗτος δὲ τὴν σύνεσιν τοῦ καιροῦ παραγενομένου ἐδείκνυ. ἆρ' οὖν συνετῶς ἀνεγίνω-

σκε τὰ προφητικά; οἶμαι δ' αὐ-
τὸν οὐκ ἐκ τῆς ἁλώσεως ἀριθ-
μεῖν, ἀλλ' ἐκ τῆς αἰχμαλωσίας
ἴσως τοῦ ἰσραήλ. ἐρήμωσιν γὰρ εἰ-
κότως ἂν τις εἴποι ἱερουσαλὴμ καὶ
τοὺς πολέμους. ὅρα καὶ τὸν ἀριθμὸν
σαββατικόν. ὥσπερ γάρ ποτε τε-
τρακόσια τριάκοντα καὶ διακό-
σια δεκαπέντε ἐποίησεν, οὕτως
οἶμαι καὶ νῦν ἐλάττω εἶναι. περὶ
οὗ ἐγενήθη, φησὶ, λόγος πρὸς
ἱερεμίαν τὸν προφήτην, εἰς
συμπλήρωσιν ἐρημώσεως ἱερου-
σαλὴμ ἑβδομήκοντα ἔτη. καὶ ἔδω-
κα τὸ πρόσωπόν μου πρὸς κύ-
ριον τὸν θεὸν, τοῦ ἐκζητῆσαι
προσευχὴν καὶ δέησιν ἐν νη-
στείαις καὶ σάκκῳ καὶ σποδῷ. ὅ-
ρα εὐλάβειαν. καὶ ἔδωκα, φησὶ, τὸ
πρόσωπόν μου. τουτέστι κατη-
σχυμμένος ἤμην πρὸ τούτου, πρὸ
τῆς ταπεινώσεως· νῦν δὲ ἔδωκα, ἀν-
τὶ τοῦ ἐτόλμησα. εἰ δὲ ὀφειλό-
μενον ἀπῄτει, οὐκ ἂν ἔλεγε, ἔ-
δωκα τὸ πρόσωπόν μου, ὡς ἐπὶ
παρακεκινδυνευμένῳ πράγματι.
εἰ ὑπὲρ ἄλλων τοσαύτῃ χρῆται
σπουδῇ· εἰ τοσαύταις ἀπολαύων
καὶ παρὰ τοῦ θεοῦ, καὶ παρὰ τοῦ βα-
σιλέως εὐνοίαις· οὐκ ἔχει τι-

bat Prophetarum oracula?
Existimo autem illum non
ab vrbe capta numerare;
sed fortè à captiuitate Israë-
lis. Iure enim desolatio-
nem quis vocauerit Hiero-
solymæ etiam bella. Vide
& numerum Sabbaticum.
Nam sicut aliquando qua- Ex. 12.
dringentos & triginta an- 40.
nos in ducentos & quinde-
cim mutauit: ita puto &
nunc, annos pauciores es-
se. *De quo factus est*, in-
quit, *sermo ad Hieremiam
Prophetam, in complemen-
tum desolationis Hierosoly-
mæ septuaginta anni. Et de-
di faciem meam ad Domi-
num Deum, vt exquirerem
orationem & deprecationem
in ieiuniis & sacco & cine-
re.* Cerne religionem Pro-
phetæ. *Et dedi*, inquit, *fa-
ciem meam.* Hoc est, ru-
bore suffusus eram antea,
nempe ante humiliationem:
nunc verò *dedi*, id est au-
sus sum. Quòd si rem de-
bitam postulasset, sanè non
dixisset: *dedi faciem meam*,
quasi in facto periculosè
suscepto. Si pro aliis tanto
vtitur studio; si tanta cùm
frueretur tam apud Deum,
quàm apud Regem bene-
uolentia; harum tamen re-

rum nullum sensum habet; sed quasi ipse in malis versaretur, magis mordetur ac moleste fert, quàm ij qui ab ea calamitate erant oppressi: quomodo quis eum dignè miretur? Vide autem, vt etiam post illas afflictiones, non ausus sit accedere; donec vidit tempus esse completum. Vbi ergo desidebimus deinceps, nos miseri? Quid ais ô Daniel? In prosperis tu es; honorem habes à Deo, & ab hominibus: quid tibi curæ est de ceteris? Sic & Moyses agebat. Et quid ait? *In ieiuniis & sacco & cinere* debita exigens. Quid enim si debebatur? Ne fortè Iudæi se hoc quoque indignos fecissent. Apud Deum quippe non est necessitas: superior legibus est. *Vt quærerem*, inquit, *orationem & deprecationem*. Id primum poscit. Si permittat mihi, inquit, pro illis orare. Quoniam audierat Hieremiam ista verba à Domino retulisse: *Ne ores pro populo isto, & ne postules pro iis.* (Ier. 7, 16.) Auxiliantur ipsi captiuitas, tempora, propria virtus, & quòd innumera pro Deo passus sit: & tamen non-

νὰ αἴσθησιν τῶν πραγμάτων· ἀλλ' ὡς αὐτὸς ὢν ἐν τοῖς δεινοῖς, αὐτῶν τῶν ὄντων μᾶλλον ἐδάκνετο. πῶς ἄν τις αὐτὸν κατ' ἀξίαν θαυμάσειεν; ὅρα δὲ καὶ μετὰ τὰς θλίψεις ἐκείνας οὐ θαρροῦντα προσελθεῖν, ἕως εἶδε τὸν χρόνον πληρωθέντα. ποῦ τοίνυν κεισόμεθα λοιπὸν ἡμεῖς οἱ ἄθλιοι; τί λέγεις ὦ Δανιήλ; ἐν ἀγαθοῖς εἶ σὺ, τιμῆς ἀπολαύεις παρὰ θεοῦ, παρὰ ἀνθρώπων· τί σοι * μέλει (*l. μέλει) περὶ τῶν ἄλλων; οὕτω καὶ Μωυσῆς ἐποίει. καὶ τί φησι; ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ τὰ ὀφειλόμενα ἀπαιτῶν. τί γὰρ εἰ ὠφείλετο; μήποτε καὶ τούτου ἀναξίους ἑαυτοὺς ἐποίησαν. οὐ γάρ ἐστιν ἀνάγκη παρὰ θεῷ, ἀνώτερος νόμων ἐστί. τοῦ ζητῆσαι, φησὶ, προσευχὴν καὶ δέησιν. πρῶτον τοῦτο ἐπιζητεῖ. εἰ ἐπιτρέπει μοι, φησὶ, εὔξασθαι ὑπὲρ αὐτῶν. ἐπειδὴ ἤκουσεν Ἱερεμίου τοῦτο ἀκούοντος· ὅτι μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου ὑπὲρ αὐτῶν. ἔχων * ἀπὸ τῆς αἰχμαλωσίας, (*f. add. τὴν) τὴν ἀπὸ τῶν χρόνων συμμαχίαν, τὴν ἀπὸ τῆς οἰκείας ἀρετῆς, καὶ τοῦ μυρία παθεῖν, οὐδέ-

πω θαρρεῖ, ἀλλὰ τέφραν ὑποστρωσάμενος καὶ σάκκον, οὕτως ἐδεῖτο. τί ποιήσομεν ἡμεῖς οἱ ἀνάλγητοι; τοῦτον ἡμᾶς ἐχρῆν μιμεῖσθαι. ἵνα γὰρ μή τις λέγῃ, ὅτι διὰ πενίαν οἱ λοιποὶ προφῆται ταῦτα ἐποίουν, ὁ μάλιστα πάντων πρὸς ἀξιωμάτων μέγεθος ἀναχθεὶς, οὗτος μάλιστα πάντων ταπεινοῦται. καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας ἦν, καὶ τοσούτων ἀπέλαυσεν. οὕτω δεῖ πενθεῖν τὰ οἰκεῖα δεινὰ, οὕτω τῶν μελῶν φείδεσθαι τῶν οἰκείων. τοῦτο συμπάθεια τῶν προφητῶν. ὅρα ταύτῃ μάλιστα θαυμασιώτερον ὄντα. μωυσῆς ἔλεγεν· εἰ μὲν ἀφῆς αὐτοῖς, ἐπεὶ κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου. οὗτος ἐν νηστείαις ἦν καὶ δάκρυσι διηνεκῶς. παῦλος διηνεκῶς ἐν δάκρυσι, καὶ γεέννης αὐτῆς κατετόλμηκεν. οὐδεὶς αὐτῶν ἔχει τῶν οἰκείων ἀγαθῶν αἴσθησιν, ἀλλ' ὥσπερ ἐν σώματι, τοῦ ὀφθαλμοῦ καλοῦ τυγχάνοντος, οὐκ ἂν λάβοι τοῦ κάλλους αἴσθησιν, σεσηπότων τῶν ποδῶν καὶ διεφθαρμένων· οὕτω καὶ τότε ἦν. τίνος ἕνεκεν ἡ σποδὸς; ἀνεμίμνησκεν αὐτὸν

dum confidit; sed cinerem substernens & saccum, ita precatur. Quid faciemus nos qui indolentiâ sumus præditi? hunc oportuit nobis imitandum proponere. Nam ne quis dicat, reliquos Prophetas propter paupertatem ista fecisse: qui maximè omnium euectus fuerat ad dignitatum amplitudinem, ille maximè omnium se deprimit. Et de semine regni, ac stirpe regia erat; & tot tantáque fuerat consecutus. Ita oportet lugere sua mala: sic propriis membris parcere. Hæc est commiseratio Prophetarum. Vide nostrum ea parte præcipuè esse admirabilem. Moyses dicebat: *Siquidem remittas eis: sin minus; etiam me dele de libro.* Hic in ieiuniis & lacrymis continuè degebat. Paulus assiduè in lacrymis; & contra gehennam ipsam ausus est. Ipsorum nullus sensu afficitur propriorum bonorum: sed vt in corpore, oculus licèt pulcer sit, non tamen percipiet suæ bonitatis ac pulcritudinis sensum, si pedes putrefacti sint ac corrupti: ita & tunc erat. Cur cinis? Admonebat eum

Dan. 1. 3.
Ex. 32. 32.
Rom. 9. 3.

propriæ naturæ. Cur saccus? Asperitate deprimit. Cur ieiunium? Et ipsum ea quæ in paradiso gesta sunt, in memoriam reuocabat. Hic viris sanctis mos est, ea quæ affligunt consectari. Neque terra dignus sum, inquit, neque vestibus, neque rebus quæ secundùm naturam sunt; sed grauiori supplicio. Qui Persicis amictus sum vestibus; qui tiaram gesto Persicam. Et quid ait? Videamus confessionem. 4. *Et oraui ad Dominum Deum meum.* Cerne amorem erga Dominum. *Deum meum*, inquit. Cui non audebat supplicare, hunc Deum suum vocat. 20. *Adhuc me loquente, ac orante, & confitente peccata mea, & peccata populi mei Israëlis; & prosternente misericordiam meam coram Domino Deo meo, ad montem sanctum Dei mei.* 21. *Et adhuc me loquente in oratione: & ecce vir Gabriel (quem videram in visione à principio) volans: & tetigit me circiter horam sacrificij vespertini.* 22. *Et intelligere fecit me, & locutus est mecum, & dixit: Daniel, nunc e-*

τῆς οἰκείας φύσεως. τίνος ἕνεκεν ὁ σάκκος; τῇ τραχύτητι ταπεινοῖ. τίνος ἕνεκεν ἡ νηστεία; καὶ αὐτὴ τῶν ἐν παραδείσῳ ἀνεμίμνησκεν. οὕτω αὐτοῖς ἔθος ἐστὶ, τὰ βασανίζοντα διώκειν. οὐ γὰρ τῆς γῆς ἄξιός εἰμι, φησὶν, οὐδὲ τῶν ἱματίων, οὐ γὰρ τῶν κατὰ φύσιν πραγμάτων· ἀλλὰ χαλεπωτέρας τιμωρίας. ὁ τὰ περσικὰ περιβεβλημμένος ὑφάσματα· ὁ τιάραν ἔχων περσικήν. καὶ τί φησι; ἴδωμεν τὴν ἐξομολόγησιν. καὶ προσηυξάμην πρὸς κύριον τὸν θεόν μου. ὅρα τὸ φίλτρον τὸ περὶ τὸν δεσπότην. τὸν θεόν μου, φησί. ὃν οὐκ ἐτόλμα ἱκετεύειν, τοῦτον θεὸν αὐτοῦ καλεῖ. ἔτι ἐμοῦ λαλοῦντος, καὶ προσευχομένου, καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου ἰσραὴλ, καὶ ῥίπτοντος τὸν ἔλεόν μου ἔναντι κυρίου τοῦ θεοῦ μου, ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου τοῦ θεοῦ μου. καὶ ἔτι ἐμοῦ λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ἀνὴρ γαβριὴλ, ὃν εἶδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετώμενος, καὶ * ὕψατο ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς. καὶ συνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπε· δανιὴλ, νῦν ἐξ-

* l. ἥψατό μου

ἦλθον συμβιβάσαι σε σύνεσιν. ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος. καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ. ὥστε καὶ ὅταν λέγωσιν ἡμῖν οἱ Ἰουδαῖοι· διὰ τί ἐν τῷ Ἠσαΐᾳ, τοῦ Ὀζίου περὶ τοῦ πολέμου δεδιότος, καὶ τῆς ἐφόδου τῶν δύο βασιλέων, ὁ προφήτης ἐξελθὼν ἔδωκεν αὐτοῖς σημεῖον, μετὰ μυρία ἔτη συμβαῖνον· ἐροῦμεν καὶ αὐτοὶ πρὸς αὐτούς· τίνος ἕνεκεν τοῦ Δανιὴλ ἀξιώσαντος ὑπὲρ τῆς ἀνόδου, καὶ ἐπιθυμοῦντος ἀκοῦσαί τι περὶ τούτων, ἐξελθὼν ἄγγελος περὶ μὲν τούτων οὐδὲν ἀπήγγειλε, πράγματα δὲ μακροῖς ὕστερον χρόνοις ἐδίδαξεν. ἀλλ' ὥσπερ ἐνταῦθα ἐκ περιουσίας τὸ ζητούμενον λύει· οὕτω κἀκεῖ. πίστις γὰρ μεγίστη τοῦ τὴν πόλιν ἀναστήσεσθαι, τὸ καὶ πάλιν αὐτὴν ἁλώσεσθαι. τί οὖν; λυπῆσαι τὸν προφήτην βουλόμενος, τοῦτο ποιεῖ; οὐδαμῶς, ἀλλ' αὐτοὺς φοβερωτέρους ἐργάσασθαι. καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πολλάκις. ἐπειδὴ γὰρ ἡ μέλλουσα ἔσεσθαι εὐπραγία, ἱκανὴ φυσῆσαι τὴν ἐκείνων διάνοιαν, οὐ

gressus sum vt conciliem tibi intelligentiam. 23. *In principio deprecationis tuæ exiuit sermo: & ego veni, vt annuntiarem tibi: quia vir desideriorum tu es. Et animaduerte in verbo, & intellige in visione.* Itaque cùm dicent nobis Iudæi; cur in Esaia, cùm Ozias Is. 7.
de bello timeret, & de expeditione duorum Regum; Propheta egressus dedit eis signum, quod post plurimos annos euenit: dicemus & nos ad illos; cur cùm Daniel precaretur pro reditu, & de iis rebus aliquid audire cuperet; egressus Angelus, de his quidem nihil renuntiauit; res autem longo pòst tempore futuras edocuit: sed sicut hîc ex abundanti quæstionem soluit; ita & illic: fidem enim maximam facit Vrbis erigendæ, quod iterum capienda dicitur. Quid ergo? An quod velit Prophetam contristare, id agit? Minimè; sed Hebræos cupit timidiores efficere. Et non semel, neque bis; sed sæpe repetit. Quandoquidem enim futura prosperitas sufficiens erat ad eorum mentem inflandam: non solùm

instauratâ ciuitate, sed & manibus barbaricis ædificatâ, barbaricis illis quæ eam euerterant. Hoc enim etiam
Is. 49. 17. Esaias dicit, ostendens omnipotentiam ac diuitias Dei, quomodo potens sit omnia & facere, & mutare. Quoniam igitur futurum erat, vt Iudæis patria bona redderentur, vtque reportarent illustres continuásque victorias, quas & Prophetæ magnâ voce prædicant: vt
Ezech. 39. 9. Iezeciel quidem, quòd septem annis comburerentur arma eorum qui capiendi erant. Alij autem Prophetæ eadem assiduè dicebant. Ne his, inquam, rebus elati, deteriores prioribus fierent; metu prædictionis, & quòd eadem subinde dicerentur; eos velut ad necessitatem ineuitabilem redigit, vt ne volentes quidem perirent. Et propter hoc & tempus incertum faciebat: quoniam quæ vtilitas erat ista annuntiari? Et vide quando prophetentur. Sub ipsum reditum, rebus illorum vigentibus ac florentibus. Quemadmodum & Moyses, cùm eos introducturus esset in terram promissionis, prope ipsam bonorum per-

μόνον ἀνορθουμένης τῆς πόλεως, ἀλλὰ καὶ χερσὶ βαρβαρικαῖς οἰκοδομουμένης, βαρβαρικαῖς ἐκείναις ταῖς καθελούσαις αὐτήν. τοῦτο γὰρ καὶ ὁ Ἠσαΐας φησί, δεικνὺς τὸ παντοδύναμον καὶ εὔπορον τοῦ θεοῦ, πῶς ἱκανὸς πάντα καὶ ποιῆσαι, καὶ μεταβαλεῖν. ἐπεὶ οὖν ἔμελλεν αὖθις τὰ πάτρια ἀποδοθήσεσθαι, καὶ νῖκαι λαμπραί, καὶ συνεχεῖς, ἃς καὶ οἱ προφῆται ἀναβοῶσιν· οἷον ὁ μὲν Ἰεζεκιήλ, ὅτι μετὰ ζ ἔτη τὰ ὅπλα αὐτῶν κατακαυθήσεται τῶν μελλόντων ἁλώσεσθαι. οἱ δὲ ἄλλοι τὰ αὐτὰ συνεχῶς ἔλεγον· ἵνα μὴ τούτοις ἐπαρθέντες, χείρους τῶν προτέρων γένωνται· τῷ φόβῳ τῆς προρρήσεως, καὶ τὸ πολλάκις τὰ αὐτὰ εἰπεῖν, καθάπερ αὖθις εἰς ἀνάγκην ἄφυκτον καθιστῶν, τοὺς μηδὲ βουλομένους διαφθαρῆναι. καὶ διὰ τοῦτο καὶ τὸν χρόνον ἄδηλον ἐποίει· ἐπεὶ τίς χρεία ταῦτα ἀπαγγελθῆναι; καὶ ὅρα πότε προφητεύεται. παρ' αὐτὴν τὴν ἄνοδον, ἀκμαζόντων αὐτοῖς, καὶ ἀνθούντων τῶν πραγμάτων. ὥσπερ καὶ ὁ Μωυσῆς μέλλων αὐτοὺς εἰσάγειν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, παρ' αὐτὴν τὴν τῶν ἀγαθῶν τὴν με-

τάληψιν προφητεύει αὐτοῖς παρ-
όντα τὰ δεινὰ, λέγων· διαμαρτύ-
ρομαι ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν.
ἀντίρροπον τῇ διὰ τὴν εὐπραγίαν
*l. τὴν ἀπαθείᾳ * τῆς ἀπὸ τῆς ἀπειλῆς
τιμωρίαν τιθείς. οὕτω καὶ οὗτος κα-
τέχει αὐτοὺς ἐν φόβῳ. διὰ τοῦτο καὶ
Ζαχαρίας τὸ πλέον ἐν τούτοις
διατρίβει, καὶ σαφέστερον τὰ αὐτὰ
λέγει. οὐδὲν γὰρ οὕτως ὡς ἀνθρω-
πίνη φύσις πρὸς εὐπραγίαν
καὶ ἄνεσιν ἄχρηστον. ἔτι ἐμοῦ λα-
λοῦντος, φησὶ, ἐν τῇ προσευχῇ,
ἦλθεν ὁ ἄγγελος γαβριὴλ, ὁ
συνήθης αὐτῷ, πετώμενος· καὶ
κατέσχε με ὡσεὶ ὥραν θυσίας ἑ-
σπερινῆς. ἢ ὥστε μὴ ἔκπληκτον
γενέσθαι ἀπὸ τῆς ὄψεως, ἢ ὥστε
νοῆσαι τὰ λεγόμενα. ἐπειδὴ γὰρ οὐκ
ἦν αὐτὰ σαφῶς εἰπεῖν διὰ τοὺς
λοιποὺς, εἰκότως ἅπτεται. καὶ συν-
έτισέ με, φησὶ, καὶ ἐλάλησε μετ'
ἐμοῦ, καὶ εἶπεν· δανιὴλ, νῦν ἐξῆλ-
θον συμβιβάσαι σε σύνεσιν. ἐν
ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ
λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖ-
λαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ.
καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ
σύνες ἐν τῇ ὀπτασίᾳ. νόησον, φησὶ,
τὰ λεγόμενα. ὅταν γάρ τις ὑπὲρ

ceptionem; prophetat mala quæ nunc sustinent, dicens: *Contestor vobis cælum & terram*; Deut. 4.26. indolentiæ quam felicitas parit, æquilibrem ponens punitionem quam minatur. Ita & iste continet ipsos in metu. Ideo & Zacharias plurimùm in istis rebus moratur, eadémque manifestiùs dicit. Nihil quippe humanâ naturâ minus aptum est ad prosperitatem ac laxamentum. *Adhuc me loquente*, inquit, *in oratione, venit Angelus Gabriel*, illius familiaris, *volans: & tenuit me circiter horam sacrificij vespertini.* Vel ne ex visione obstupefieret; vel vt intelligeret quæ dicerentur. Et quia non licebat ea clarè, propter reliquos proferre; iure tangit eum. *Et docuit me*, inquit; *ac locutus est mecum, & dixit: Daniel nunc exiui, vt conciliarem tibi intelligentiam. In principio deprecationis tuæ exiuit sermo: & ego veni, vt renuntiarem tibi: quia vir desideriorum tu es. Et animaduerte in verbo, & intellige in visione.* Attende, inquit, ea quæ dicuntur. Cùm enim aliquis de aliis

quidem rogat, alia verò audit; multa tunc indiget attentione. 25. *Et redibit, & ædificabitur platea, & murorum ambitus.* Id est iuxta nonnullos murus, quem Agrippa condidit. *Et euacuabuntur tempora.* 26. *Et post hebdomadas sexaginta duas exterminabitur vnctio; & iudicium non est in eo: & ciuitatem & sanctuarium labefaciet cum duce: & excidentur sicut in diluuio, & vsque ad finem belli concisi calamitatibus.* 27. *Et confirmabit testamentum multis hebdomas vna.* Vide vt punctim mala enarret. *Vel & dimidium hebdomadis, cessare faciet thymiama, & sacrificium, & libamen: & super templum abominatio desolationis; & vsque ad consummationem temporis consummabitur in desolationem.* Aspice vt in rebus tristibus sermoni finem imposuerit: & ea quidem quæ bona erant, obscurè dixerit. Hoc enim sibi vult illud: *Confirmabit multis testamentum hebdomas vna;* tristia verò, intelligenter, & sæpe. *Et abominatio desolationis.* Id est quæ ab Adriano facta est. Hæc

ἑτέρων μὲν ἀξιοῖ, ἕτερα δὲ ἀκούει· πολλῆς δεῖται τῆς προσευχῆς. καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεία καὶ περίτειχος. τινὲς τὸ τεῖχος, ὅπερ ἀγρίππας ἐποίησε φασιν. καὶ ἐκκενωθήσονται οἱ καιροί. καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξήκοντα δύο ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ· καὶ τὴν πόλιν, καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ· καὶ ἐκκοπήσονται ὡς ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς. καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία. ὅρα πῶς πληκτικῶς τὰ κακά. ἢ καὶ ἥμισυ τῆς ἑβδομάδος, καταπαύσει θυμίαμα, καὶ θυσία, καὶ σπονδή· καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως, καὶ ἕως συντελείας καιροῦ συντελεσθήσεται ἐπὶ τὴν ἐρήμωσιν. ὅρα πῶς ἐν τοῖς λυπηροῖς τὸν λόγον κατέπαυσε· καὶ τὰ μὲν χρηστὰ ἀσαφῶς εἶπεν. τοῦτο γάρ ἐστι· δυναμώσει πολλοῖς διαθήκην ἑβδομὰς μία· τὰ δὲ λυπηρά, συνεχῶς καὶ πολλάκις. καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως. τουτέστι τὸ ἀδριανοῦ. ταῦτα σα-

φέστερον ὁ ζαχαρίας λέγει. λέγει δὲ ἐκεῖνος καὶ τὰ χρηστά, διὰ τοὺς ἐναπομείναντας. τάχα δὲ μετ' αἴγυπτον τοσαῦτα ἔτη ἐποίησε, καὶ οὐ διεφθάρησαν, νῦν δὲ οὐκέτι προσδοκᾷς ταῦτα. ὅρα καὶ τὰ ἄλλα. οὐκ ἐπιβαίνει ἰουδαίοις, καθάπερ καὶ πρότερον τῆς πόλεως. τίς δὲ ὅλως περὶ ἐπανόδου εἶπεν; οὐδείς.

apertiùs Zacharias : qui etiam res commodas prædicit ; propter eos qui remanserant. Fortaſſis & in Ægypto totidem annos fecit ; & non labefactati ſunt : nunc autem non ampliùs exſpectas iſta. Vide & alia. Iudæus in vrbem non remigrat, vt antea. Quis autem omnino de reditu locutus eſt ? Nemo.

ΚΕΦ. Ι'.

ΕΝ ἔτει τρίτῳ τοῦ βασιλέως περσῶν κύρου λόγος ἀπεκαλύφθη τῷ δανιὴλ, οὗ τὸ ὄνομα ἐπεκλήθη βαλτάσαρ. καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ. ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας. ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέα καὶ οἶνος οὐκ εἰσῆλθον εἰς τὸ στόμα μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην ἕως τελειῶν ἑβδομάδων ἡμερῶν. τίνος ἕνεκεν πάλιν πενθεῖ; εἰ γὰρ τὸ πρῶτον ἔτος κύρου ἀνέβη, τίνος ἕνεκεν πενθεῖ; καὶ πάσας ἡμέρας, εἰκὸς μίαν. πάλιν οὐδὲν ἀκούει ὑπὲρ ὧν εὔχεται. ἐμοὶ δοκεῖ, ὅτι εὔχεται ὥστε λυθῆναι τὰ δει-

CAPVT X.

1. *IN anno tertio Cyri regis Perſarum, verbum reuelatum eſt Danieli, qui nominatus eſt Baltaſar. Et verum erat verbum; & potentia magna & intelligentia data eſt ei in viſione.* 2. *In diebus illis ego Daniel in luctu eram tres hebdomadas.* 3. *Panem deſideriorum non comedi, & carnes ac vinum non introierunt in os meum, & vnguento non vnctus ſum vſque ad tres hebdomadas dierum.* Quare iterum luget ? Nam ſi primus annus Cyri aduenerat, cur luget ? Et omnes dies, cùm vnum dumtaxat lugere debuiſſet. Rurſus nihil audit de iis rebus, pro qui-

bus orat. Mihi videtur quòd pro solutione calamitatum præsentium precatur. At Deus nihil tale; sed idem ac suprà atque apertiùs dicit. Imò vt omnes redeant orat Daniel. Licèt enim magna essent mala, quibus Iudæi premebantur, non tamen ideo volebat patriam amittere. Iste autem Angelus clariùs ac exactiùs id dicit. Aspice autem vbique Danielem non simpliciter ac sine labore obtinere visiones, sed cum ieiuniis. Quando oportuit somnium discere, ieiunium præcessit. Cùm Gabriel apparuit, ieiunium iterum, & cinis, & saccus: cùm iste conspicitur, & ieiunium & oratio. Sed vide Angelum se propemodum excusare Danieli. 4. *Et in die vigesima quarta mensis primi ego eram iuxta fluuium magnum, hic est Tigris.* 5. *Et leuaui oculos meos, & vidi: & ecce vir indutus Baddim, & lumbus eius præcinctus auro Ophaz.* 6. *Et corpus eius, quasi Tharsis; & facies eius, vt aspectus fulguris; & oculi eius, veluti lampades ignis: & brachia eius ac crura, sicut visio æris coruscantis; &*

να ταῦτα. ἀλλ' οὐδὲν τοιοῦτον ὁ θεός. καὶ λέγει σαφέστερον αὐτό. μᾶλλον δὲ ὥστε πάντας ἀνελθεῖν εὔχεται. εἰ γὰρ καὶ μεγάλα τὰ δεινὰ, καὶ ἐβούλετο ἀποβαλεῖν τὴν πατρίδα. οὕτως δὲ σαφέστερον αὐτὸ λέγει, καὶ ἀκριβέστερον. ὅρα δὲ πανταχοῦ τὸν δανιὴλ οὐχ ἁπλῶς ἐπιτυγχάνοντα τῶν ὄψεων, ἀλλὰ μετὰ νηστειῶν. ὅτε ἔδει τὸ ὄναρ μαθεῖν, νηστεία προηγήσατο. ὅτε γαβριὴλ ἐφάνη, νηστεία πάλιν καὶ σποδὸς καὶ σάκκος. ὅτε οὗτος φαίνεται, καὶ νηστεία καὶ εὐχή. ἀλλ' ὅρα καὶ τοῦτον ἀπολογούμενον αὐτῷ σχεδόν. καὶ ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου, ἐγὼ ἤμην ἐχόμενος τοῦ ποταμοῦ τοῦ μεγάλου, οὗτός ἐστι τίγρις. καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ ἐνδεδυμένος βαδὶμ, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη χρυσίῳ ὀφάζ. καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ θαρσεῖς, καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρὸς, καὶ οἱ βραχίονες αὐτοῦ καὶ τὰ σκέλη ὡς ὅρασις χαλκοῦ στίλβοντος, καὶ

ἡ φωνὴ τῶν λόγων αὐτοῦ ὡς φωνὴ
ὄχλου. εἶδον καὶ ἐγὼ δανιὴλ μόνος
τὴν ὀπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ' ἐ-
μοῦ οὐκ εἶδον τὴν ὀπτασίαν, ἀλλ' ἢ
ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ'
αὐτούς, καὶ ἔφυγον ἐν φόβῳ. καὶ ἐγὼ
ἀπελείφθην μόνος, καὶ εἶδον τὴν ὀ-
πτασίαν τὴν μεγάλην ταύτην, καὶ
οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ
ἡ δόξα μου μετεστράφη εἰς δια-
φθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος.
καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐ-
τοῦ· καὶ ἐν τῷ ἀκοῦσαί με ἤμην
κατανενυγμένος ἐπὶ πρόσωπόν
μου, καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν
γῆν. καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ
ἤγειρέ με ἐπὶ τὰ γόνατά μου, καὶ
ἐπὶ τὰ ἴχνη τῶν ποδῶν μου. καὶ εἶ-
πεν πρός με· δανιὴλ ἀνὴρ ἐπι-
θυμιῶν, σύνες ἐν τοῖς λόγοις,
οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ στῆθι
ἐν τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην
ἐγὼ πρὸς σέ. καὶ ἐν τῷ λαλῆσαι αὐ-
τὸν πρός με τὸν λόγον τοῦτον, ἀνέ-
στην ἔντρομος. καὶ εἶπεν πρός με· μὴ
φοβοῦ δανιὴλ, ὅτι ἀπὸ τῆς ἡμέρας
τῆς πρώτης, ἧς ἔδωκας τὴν καρδίαν
σου τοῦ συνιέναι καὶ κακωθῆναι ἐναν-
τι κυρίου τοῦ θεοῦ σου, ἠκούσθησαν οἱ λό-
γοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις

vox sermonum eius, quasi
vox turbæ. 7. Et vidi ego
Daniel solus visionem: &
viri qui erant mecum vi-
sionem non viderunt; sed
terror grauis irruit super
eos, & fugerunt in timo-
re. 8. Et ego relictus sum
solus, & vidi visionem
magnam hanc; & non re-
mansit in me fortitudo, &
gloria mea conuersa est in
corruptionem, & non re-
tinui robur. 9. Et audiui
vocem sermonum eius: &
cùm ego audirem, eram com-
punctus super faciem meam,
& facies mea super terram.
10. Et ecce manus tetigit
me, ac erexit me super ge-
nua mea, & super vestigia
pedum meorum. 11. Et di-
xit ad me: Daniel, vir de-
sideriorum, intellige in ser-
monibus quos ego loquar ad
te; & sta in statione tua,
quia nunc ego missus sum
ad te. Cúmque loqueretur
ipse ad me sermonem istum,
surrexi tremens. 12. Et
dixit ad me: ne timeas
Daniel, quia à die prima,
qua dedisti cor tuum ad in-
telligendum, & ad affligen-
dum te coram Domino Deo
tuo; audita sunt verba tua;
& ego veni in verbis tuis.

Vides quod dixi, hunc tantùm-non se excusare Danieli? *A prima die*, inquit, *missus sum*. Qua ergo gratia moratus es? 13. *Et princeps regni Persarum stetit ex aduerso mei vnum & viginti dies.* Audisti quod *posuit terminos Gentium secundùm numerum Angelorum suorum?* Et vnaquæque gens præfectum habet Angelum, qui vult potentior esse reliquis. *Et intelligentia data est ei in visione.* Non enim sufficiebat docuisse ea quæ dicebantur. Cernis aliter institui Prophetas? *Et virtus magna visionis.* Verè enim magnæ potestatis fuit, quòd homines infirmi vicerint illum Antiochum, qui tot tantáque superauerat. *Et verum verbum.* Quandoquidem nonnulli credituri non erant. *Cuius nomen Baltasar.* Commemorat tibi priora, vt fide dignus habeatur. En & Pascha soluit. Nam Pascha in primo celebratur mense; iste verò vsque ad quartam & vicesimam mensis ieiunauit. Incidit autem in decimam quartam ieiunium illius, & à decima quarta ad vi-

Deut. 32.8.

σου. ὁρᾷς ὅπερ ἔφην, καὶ τοῦτον ἀπολογούμενον αὐτῷ σχεδόν; ἀπὸ πρώτης ἡμέρας, φησὶν, ἀπεστάλην. τίνος οὖν ἕνεκεν ἐβράδυνας; καὶ ὁ ἄρχων βασιλείας περσῶν εἱστήκει ἐξ ἐναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν. ἤκουσας ὅτι ἔθηκεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων αὐτοῦ; καὶ ἕκαστον ἔθνος ἔχει τὸν ἐφεστῶτα, καὶ βούλεται αὐτὸς εἶναι δυνατώτερος. καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ· οὐ γὰρ ἤρκει τὰ ῥήματα διδάξαι τὰ λεγόμενα. ὁρᾷς ἑτέρως παιδευομένους τοὺς προφήτας; καὶ δύναμις μεγάλη τῆς ὄψεως. ὄντως γὰρ μεγάλη, τὸ τοὺς ἠσθενηκότας ἐκείνου τοῦ τοσαῦτα περιγινομένου περιγενέσθαι Ἀντιόχου. καὶ ἀληθινὸς ὁ λόγος. ἐπειδή τινες ἔμελλον ἀπιστεῖν. οὗ τὸ ὄνομα Βαλτάσαρ. ἀναμιμνήσκει σε τῶν προτέρων, ἵνα ἀξιόπιστος φανῇ. ἰδοὺ καὶ τὸ πάσχα ἔλυσεν. εἰ γὰρ ἐν τῷ πρώτῳ μηνὶ τὸ πάσχα γίνεται, οὗτος δὲ μέχρι τῆς τετάρτης εἰκάδος τοῦ μηνὸς ἐνήστευσεν, ἐμπίπτει δὲ εἰς τὴν τεσσαρεσκαιδεκάτην, ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης ἐπὶ τὴν πρώτην

εἰκάδα καὶ ἑτέρας δύο ἡμέρας. ὅρα τὰ νόμιμα ἤδη καταλυόμενα. οὐκ ἐνέτρεψέ σε ὁ φόβος, ὦ δανιήλ; οὐχί, φησί. ὅρα ποῦ τὴν ὀπτασίαν βλέπει; ἐπὶ τῆς ἐρήμου, καθάπερ καὶ μωυσῆς. αἱ γὰρ πόλεις θορύβων γέμουσι, καὶ ταραχῆς. οὕτω καὶ ὁ χριστὸς ἐπὶ τοῦ ὄρους μεταμορφοῦται. καὶ ἰδοὺ μιχαὴλ εἷς τῶν ἀρχόντων πρώτων ἦλθε βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλέως περσῶν. καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἰδοὺ ἡ ὅρασις εἰς ἡμέρας. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ πάντας τοὺς λόγους τούτους, ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ κατενύγην. καὶ ἰδοὺ ὡς ὁμοίωμα υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου, καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα, καὶ εἶπον πρὸς τὸν ἑστῶτα ἐναντίον μου· κύριε, ἐν τῇ ὁράσει σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοί, καὶ ἰδοὺ οὐκ ἔχω ἰσχύν. καὶ πῶς δυνήσεται ὁ παῖς σου, κύριε, λαλῆσαι μετὰ τοῦ κυρίου μου τούτου; καὶ ἐγὼ ἀπὸ τοῦ νῦν

